

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

NIET UITLEENEN

Mr. Fleischmann.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

145 E 7
niet plakken
(Boekbandnr. 1791 D11)

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1



AMSTELODAMI

Apud Ioannes { â Waeſberge / â Someren }

Anno 1670.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

NIET PLAAT 145 E7

ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΑ.

APPIANI ALEXANDRINI ROMANARUM HISTORIARUM

Pars prior, continens earum

PUNICAM, SYRIACAM,
PARTHICAM, MITHRIDATICAM,
IBERICAM, ANNIBALICAM.

ALEXANDER TOLLIVS,
Utrumque textum multis in locis emendavit, correxit &
HENRICI STEPHANI,
Ac Doctorum quorundam Virorum Selectas Annotationes adjecit.



AMSTELODAMI,
Ex Officinâ JOH. JANSSONII à WAESBERGEN,
Et JOHANNIS à SOMEREN.

ANNO M. DC. LXX.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

KONINKLIJKE BIBLIOTHEEK

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

CELSISSIMO ac POTENTISSIMO
PRINCIPI,
CAROLO
SANCTA-MAURO,
DUCI MONTAUSERIO,
PARI FRANCIÆ,
REGIORUM ORDINUM
EQUITI TORQUATO,
NORMANNIÆ, INCULISMENSIS,
SANTONIÆ, ALSATIÆ PROVINCIARUM PRÆFECTO,
GALLIARUM DELPHINIS
GUBERNATORI, &c.

QUEMADMODUM illi, qui blandiſſimo Tuo congreſſu fruuntur, poſtquam ab eo diſceſſerunt, ſentiunt idem ſibi prope evenire, quod iis ſolet, qui intenti atque adeo inconniventes in ſolis lumine diu

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

ne diu hæſerunt, quibus etiam longius digreſſis, caligant tamen adhuc oculi, nec vim priſtinam obtutus facile poſſunt recipere. Sic nobis, Celſiſſime Princeps, longo licet regionum intervallo ſummotis, Tui nominis & uno omnium ore deprædicatarum virtutum ſplendor, aſſiduè obverſatur, & dici vix poteſt, quantus nos rapiat animi exceſſus & divina quædam ἀναγωγή; rementientes animo tum ea quæ Tu incredibili animi magnitudine & prudentia, approbante etiam belli fortuna, perfeciſti; tum vero cum rerum præclariſſimè geſtarum gloria conjunctam humanitatem, clementiam, bonitatem, affabilitatem, & eam, quam vix Latinè interpretamur, ἐυπροσιτίαν: cum ſcilicet Te adeo ſubmittere ſoleas, ut omnibus qui ſalutare Te deſiderant aditus facillimos præbeas, eósque non pro amplitudine Tuæ Celſitudinis, ſed pro modulo accedentium imbecillitatis excipias. Quin etiam ut eoſdem ad recta ſtudia acrius tuo exemplo inflammes, interiores ſæpe literas, & quæ ad Politicam, & Hiſtoriam atque adeo univerſam Philologiam pertinent, tam graviter, tam doctè, tam eleganter pertractas, ut qui Te diſſerentem audierit, non ſatis poſſit admirari, quomodo Principi, cujus humeris pro juſta parte ſalus publica, maxima rerum moles, tot Provinciarum cura, denique in ſpem regni ſuccreſcentis DELPHINI moderamen, incumbit, ad ea reminiſcenda vel otium ſuppetat vel memo-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

memoria. Sed ita eſt profecto, non in inani hominum perſuaſione, ſed in optimarum & pulcherrimarum artium, totiusque antiquitatis cognitione rerum prudenter ac feliciter agendarum ſeminaria poſita ſunt, & magni ac præcellentes Viri, Tibique ſimillimi, qui terrarum olim imperio potiti ſunt, non aliis fundamentis nitebantur, aut rerum quas moliebantur magnitudinem ſuſtinebant. His igitur cauſis, Celſiſſime Princeps, permoti, ſumma religione Te jam dudum venerati ſumus, & nunc cum Appiano Alexandrino, Scriptori, cui res Romanæ plurimum debent, nova veſte à nobis donato, Patronus pro more quærendus eſſet, Primus Tu, cujus illum auctoritati ac patrocinio commendaremus in mentem veniſti; eum potiſſimum in finem, ut publicè conſtaret, nos Celſitudini Tuæ ita eſſe dicatos, ut ſolent quæ ἀναθήματα vocantur, quæ nulla expiatione aut exauguratione revelli, aut in alios uſus, quam in quos conſecrata ſunt, revocari poſſunt. Tu tantum, Celſiſſime Princeps, munus hoc noſtrum ſerenâ fronte accipias, & nos devotiſſimum erga Te animum afferentes tua gratia & favore dignos ducas. Sic Deus Opt. Max. omnia tua acta publicè & privatim fortunet: ſic gloriam tuam indies magis & magis etiam ad invidiam augeat: ſic Te ac Familiam Tuam ſingulari divinâ ſuâ benevolentia complectatur, & dignitatem hanc Tuam, in qua & natalium ſplendor & ſumma virtutum merita

rita Te poſuerunt, univerſæ Galliæ fauſtam ac felicem eſſe patiatur. AMSTELODAMI Idib. Februar. cIↃ IↃC LXX.

Celſitudinis Tuæ Humillimi Clientes

JOH. JANSSONIUS à WAESBERGEN,

Et

JOHANNES à SOMEREN.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

ἈΠΠΙΑΝΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ ῬΩΜΑΙΚΑ.

ΤΗΝ Ῥωμαϊκὴν ἱστορίαν ἀρχόμενος συγγράφειν, ἀναγκαῖον ἡγησάμην προτάξαι τοὺς ὅρους ὅσων ἐθνῶν ἄρχουσι Ῥωμαῖοι. εἰσὶ δὲ οἵδε· ἐν μὲν τῷ Ὠκεανῷ, Βρεττανῶν τὸ πλεῖον μέρος· διὰ δὲ τῶν Ἡρακλείων στηλῶν ἐς τήνδε τὴν θάλασσαν ἐσπλέοντί τε, καὶ ἐπὶ τὰς αὐτὰς στήλας περιπλέοντι, νήσων ἄρχουσι πασῶν, καὶ ἠπείρων ὅσαι καθήκουσιν ἐπὶ τὴν θάλασσαν· ὧν εἰσὶν ἐν δεξιᾷ πρῶτοι Μαυρούσιοι ὅσοι περὶ τὴν θάλασσαν, ὅσα τε ἄλλα Λιβύων ἔθνη μέχρι Καρχηδόνος· καὶ τούτων ὕπερθε Νομάδες, οὓς Ῥωμαῖοι καλοῦσι Νουμίδας, καὶ τὴν χώραν Νουμιδίαν. ἕτεροι δὲ Λίβυες ὅσοι περιοικοῦσι τὰς Σύρτεις μέχρι Κυρήνης· Κυρήνη τε αὐτή, καὶ Μαρμαρίδαι, καὶ Ἀμμώνιοι, καὶ οἱ τὴν Μαρείαν λίμνην κατοικοῦσι· καὶ ἡ μεγάλη πόλις ἣν Ἀλέξανδρος ἔθηκε πρὸς Αἰγύ-

APPIANI ALEXANDRINI IN ROMANAS HISTORIAS

PRÆFATIO.

SCRIPTVRVS populi Romani res geſtas, neceſſarium duxi, primùm fines imperii deſcribere, qui ſic habent: In Oceano Britannicarum gentium majorem partem continent: inde Herculeum fretum petentibus, atque porro univerſi Mediterranei maris oram eaſdem uſque columnas circum relegentibus, quicquid inſularum regionúmve maritimarum in conſpectum venit, Romani juris cenſetur. Harum gentium primi ad dexteram fretum penetrantibus ſunt Mauri, quà mare accolunt: deinde Afri alii Carthaginem uſque. Supra hos remotiores à mari ſunt Nomades, quos Latini vocant Numidas, ipſámque regionem Numidiam. Sequuntur in ora Libyes ſecundum utramque Syrtim ad Cyrenen pertinentes: Hammoniíque, & quicquid populorum circa Mareiam lacum habitat: ad hæc magna illa urbs in Ægypti confinio, Alexandri conditoris nomen referens: ipſáque

tum Cyrene ipſa, Marmaridæ, pulorum circa Mareiam lacum in Ægypti confinio, Alexandri

que Ægyptus, patens adverſo Nilo navigantibus uſque verſos ad Orientem Æthiopas, per mare verò uſque Peluſium. Hinc curſu flexo in ora occurrit Palæſtina regio Syriæ, ſupra quam eſt pars quædam Arabum. ad mare Palæſtinos contingunt Phœnices: ſuperiora occupat cava (ut vocant) Syria, & quæ Euphratem uſque amnem porrigitur: tum remotiores etiam Palmyreni cincti arenis ſqualentibus, & ipſi ad Euphratem pertinentes. Poſt Syros ſunt Cilices, hiſque confines Cappadoces, & Armeniæ pars quam Minorem nominant. deinde ceteræ gentes, quodquot ſecundum Euxinum pontum parent Romano imperio. harum Syri & Cilices noſtrum mare ſpectant: Armenii verò atque Cappadoces hinc Ponticis nationibus ſunt finitimi, inde mediterraneis quas Major Armenia complectitur: nulla quidem Romanis tributa pendens, ſed ex eorum autoritate reges accipiens. Medio autem Cappadocas inter & Cilicas ſpatio, quà in Ioniam iter eſt, ingens in mare procurrit peninſula, cujus dextrum latus Euxino Propontidéque & Helleſponto atque Ægæo clauditur, lævum Pamphylio Ægyptióque mari alluitur: fertur enim utrumque peninſulam facere: cujus incolæ ad Ægyptium pelagus verſi Pamphylii ſunt & Lycii, ac deinceps Cares uſque Ioniam: ceteri Euxinum, Propontidem, Helleſpontúmque ſpectant, Galatæ, Bi-

πλοῦ· Αἴγυπτός τε αὐτὴ, μέχρι Αἰθιόπων τῶν ἑῴων ἀνὰ τὸν Νεῖλον πλέοντι, καὶ μέχρι Πηλουσίου διὰ θαλάσσης· ἐπιστρέφοντι δὲ τὸν πλοῦν, καὶ περιιόντι, Συρία τε ἡ Παλαιστίνη, καὶ ὑπὲρ αὐτὴν μοῖρα Ἀράβων. ἐχόμενοι δὲ τῶν Παλαιστινῶν Φοίνικες ἐπὶ τῇ θαλάσσῃ· καὶ Φοινίκων ὕπερθεν, ἥ τε κοίλη Συρία, καὶ μέχρι ἐπὶ ποταμὸν Εὐφράτην. ἀπὸ θαλάσσης ἄνω, Παλμυρηνοί τε καὶ ἡ Παλμυρηνῶν ψάμμος ἐπ' αὐτὸν Εὐφράτην καθήκουσα· Κίλικές τε Σύρων ἐχόμενοι, καὶ Καππαδόκαι Κιλίκων ὅμοροι, καὶ μέρος Ἀρμενίων, οὓς καλοῦσιν Ἀρμενίαν βραχυτέραν. παρά τε τὸν Εὔξεινον πόντον, ἄλλα ὅσα πάντα καὶ Ῥωμαίων ὑπήκοα ἔθνη. Σύροι μὲν δὴ καὶ Κίλικες ἐς τήνδε τὴν θάλασσαν ἀφορῶσιν, Ἀρμένιοι δὲ καὶ Καππαδόκαι ἔς τε τὰ Ποντικὰ γένη καθήκουσι, καὶ ἀνὰ τὴν μεσόγαιον ἐπὶ τὴν καλουμένην Ἀρμενίαν μείζονα, ἧς Ῥωμαῖοι οὐκ ἄρχουσι μὲν ἐς φόρου κομιδὴν, αὐτοὶ δὲ αὐτοῖς ἀποδεικνύουσι τοὺς βασιλέας. ἀπὸ δὲ Καππαδοκῶν καὶ Κιλίκων ἐς τὴν Ἰωνίαν καταβαίνοντί ἐστιν ἡ μεγάλη χερρόνησος, ὅ, τε Πόντος ὁ Εὔξεινος, καὶ ἡ Προποντὶς, καὶ ὁ Ἑλλήσποντος ἐπὶ δεξιὰ, καὶ τὸ Αἰγαῖον, ἐν δὲ λαιᾶς τὸ Παμφύλιον, ἢ Αἰγύπτιον πέλαγος. λέγεται γὰρ ἄμφω ποιεῖν χερρόνησον καί εἰσιν αὐτῆς οἱ μὲν ἐς τὸ Αἰγύπτιον πέλαγος ἀφορῶντες, Παμφύλιοί τε καὶ Λύκιοι, καὶ μετ' αὐτοὺς Καρία, μέχρι Ἰωνίας· οἱ δ' ἐπὶ τὸν Εὔξεινον, καὶ τὴν Προποντίδα, καὶ τὸν Ἑλλήσποντον, Γαλάται τε καὶ Βι-

θυνοὶ,

θυνοί, καὶ Μυσοί, καὶ Φρύγες· ἐν δὲ μεσογαίῳ Πισίδαι τε καὶ Λυδοί· τοσαῦτα ἔθνη τὴν Χερρόνησον οἰκοῦσι, καὶ πάντων ἄρχουσι Ῥωμαῖοι. περάσαντες δὲ, καὶ ἑτέρων ἐθνῶν ἄρχουσιν ἀμφὶ τὸν Πόντον, καὶ Μυσῶν τῶν ἐν Εὐρώπῃ, καὶ Θρᾳκῶν ὅσοι περὶ τὸν Εὔξεινον. ἀπὸ δὲ Ἰωνίας κόλπος ἐστὶ θαλάσσης ὁ Αἰγαῖος, καὶ ἕτερος Ἰωνίου θαλάσσης, καὶ ὁ Σικελικὸς πορθμὸς, καὶ ἡ Θυρρήνη θάλασσα μέχρι τῶν Ἡρακλείων στηλῶν. τοῦτο μῆκός ἐστιν ἀπ᾽ Ἰωνίας ἐπὶ τὸν Ὠκεανόν. καὶ ἐν τῷδε αὖ τῷ παράπλῳ Ῥωμαίων ὑπήκοα τοσαῦτα, ἥ τε Ἑλλὰς πᾶσα, καὶ Θεσσαλία, καὶ Μακεδόνες, καὶ ὅσα περίοικα ἄλλα Θρᾳκῶν, καὶ Ἰλλυριῶν, καὶ Παιόνων ἔθνη, αὐτή τε Ἰταλία μακροτάτη δὴ πάντων ἐθνῶν οὖσα, καὶ ἀπὸ τοῦ Ἰωνίου παρήκουσα ἐπὶ πλεῖστον τῆς Τυρρηνικῆς θαλάσσης, μέχρι Κελτῶν, οὓς αὐτοὶ Γαλάτας προσαγορεύουσι· καὶ Κελτῶν ὅσα ἔθνη, τὰ μὲν ἐς τήνδε τὴν θάλασσαν, τὰ δὲ ἐς τὸν βόρειον Ὠκεανὸν ἀφορᾷ, τὰ δὲ παρὰ Ῥῆνον ποταμὸν ᾤκηται. Ἰβηρία τε πᾶσα καὶ Κελτίβηρες ἐπὶ τὸν ἑσπέριον καὶ βόρειον Ὠκεανὸν, καὶ τὰς Ἡρακλείους στήλας τελευτῶντες. καὶ τούτων πέρι καὶ ἐφ᾽ ἑκάστου δηλώσω τὰ ἀκριβέστατα, ὅταν εἰς ἕκαστον ἔθνος ἡ γραφὴ περιίῃ. νῦν δὲ ὅσον ὅροις μεγάλοις τὴν ἀρχὴν περιλαβεῖν, κατὰ μὲν θάλασσαν εἴρηται, κατὰ δὲ γῆν περιοδεύοντι, μοῖρα τε Μαυρουσίων ἂν εἴη τῶν παρ᾽ Αἰθίοψι τοῖς περὶ ἑσπέραν· καὶ ἔτι θερμότερον, ἢ θηριῶδες ἄλλο Λιβύης, μέχρις Αἰθιόπων τῶν ἑῴων.

thyni, Myſi, Phryges: mediterranea ejus tenent Lydi & Piſidæ. tot gentes habitant hanc peninſulam, omnes Romanorum ſubjectæ imperio. Trans fretum verò in Europa & alias provincias habent Ponto contiguas, Mæſiam ac Thraciam quà Euxinum accolit. Ab Ionia verò Ægæus ſinus incipit, inde alter Ionius, poſt quem eſt ſretum Siculum, & inde Tyrrhenum mare uſque columnas Herculeas. Atque hæc eſt longitudo ad Oceanum ab Ionia. in quibus oris hæ ſunt Romanæ provinciæ, Græcia univerſa, Theſſalia, Macedonia, tum finitimæ Thraciæ reliqua, & Illyricum ac Pannoniæ. Sequitur ipſa Italia longiſſimo protenſa ſpatio, ab Ionio mari præter Tyrrhenicum tendens uſque Galliam: cujus provinciæ gentes partim noſtrum mare ſpectant, partim ſeptentrionalem Oceanum, partim ſecundùm flumen Rhenum habitant. His accedit univerſa Hiſpania, & Celtiberi pertingentes ad ſeptentrionalem Occidentalémque Oceanum, ac columnas Herculis. De ſingulis harum regionum dicetur diligentiſſimè, quum ordo narrationis ad eas nos deduxerit. Nunc quàm amplis finibus maritimis imperium includatur, dictum eſt. Terreſtri verò itinere luſtranti eos occurrit pars Mauritaniæ vergens ad occidentalem Æthiopiam, tum aliæ propter nimium æſtum, aut noxias beſtias, incultiores regiones Africæ, uſque orientales Æthiopas. Et hi quidem

dem in Africa ſunt Romanorum termini: in Aſia verò flumen Euphrates, mons Caucaſus, Armeniæ Majoris regnum, Colchis quæ ad Euxinum mare colitur, & reliquum oræ illius. In Europa duo maximè fluvii Romanorum imperium finiunt, Rhenus & Danubius: horum Rhenus in ſeptentrionalem Oceanum, Danubius in Euxinum Pontum evolvitur. Alicubi tamen trans hos quoque amnes Germanis tranſrhenanis nonnullis imperant, & Getis ultra Danubium, quos ipſi Dacos nominant. Hi ſunt verſus continentem termini, quantùm exactiſſimè eos digerere potuimus. Inſulæ quoque quotquot ſunt in mari Mediterraneo, Cyclades, Sporades, Echinades, Tyrrhenicæ, Baleares, ſeu quocunque alio nomine, vel circa Africam, vel in Ionio, Ægyptio, Myrtoo, Siculo ceteróque noſtro mari quibuſcunque diſtincto vocabulis: tum illæ, quas ob excellentiam Græci magnas nominant, Cyprus, Creta, Rhodus, Lesbus, Eubœa, Sicilia, Sardinia, Corſica, & ſi qua eſt alia major minórve, omnes Romanis parent. In ſeptentrionali etiam Oceano tranſportatis copiis in Britanniam inſulam, quæ præ magnitudine videri poſſit alia terra continens, occuparunt pluſquam dimidiam, de reliquo ejus parum ſoliciti, ut minus commodo. quando ne id quidem quod poſſident ex ea, fructus affert uberes. Ex his tot ac tantis gentibus

ταῦτα μὲν Λιβύης Ῥωμαίοις ὅροι. τῆς δὲ Ἀσίας, ποταμός τε Εὐφράτης, καὶ τὸ Καύκασον ὄρος, καὶ ἡ Ἀρμενίας τῆς μείζονος ἀρχή, καὶ Κόλχοι παρὰ τὴν Εὔξεινον θάλασσαν ᾠκημένοι, καὶ τὰ λοιπὰ τοῦδε τοῦ πελάγους. ἐν δὲ τῇ Εὐρώπῃ ποταμοὶ δύο, Ῥῆνός τε καὶ Ἴστρος, μάλιστα τὴν Ῥωμαίων ἀρχὴν ὁρίζουσι· καὶ τούτων Ῥῆνος μὲν ἐς τὸν βόρειον Ὠκεανόν· Ἴστρος δὲ ἐς τὸν Εὔξεινον Πόντον καταδιδοῖ. περάσαντες δέ πη, καὶ τούσδε Κελτῶν τῶν ὑπὲρ Ῥῆνον ἄρχουσιν ἐνίων, καὶ Γετῶν τῶν ὑπὲρ Ἴστρον οὓς Δακοὺς καλοῦσιν. ὅροι μὲν οὗτοι κατ' ἤπειρον, ὡς ἐγγύτατα ἐλθεῖν τοῦ ἀκριβοῦς. νῆσοι δὲ πᾶσαι ὅσαι τῆς ἐντὸς θαλάσσης εἰσίν, αἵ τε Κυκλάδες, ἢ Σποράδες, ἢ Ἠιάδες, ἢ Ἐχινάδες, ἢ Τυῤῥηνίδες, ἢ Μυησίαι, ἢ ὅσας ἄλλας ὀνομάζουσιν ἑτέρως, περί τε Λιβύην, καὶ τὸ Ἰώνιον, ἢ Αἰγύπτιον, ἢ Μυρτῷον, ἢ Σικελικὸν, ἢ ὅσα ἄλλα τῆσδε τῆς θαλάσσης ὀνόματα· ὅσαι τε ἐξαιρέτως ὑπὸ τῶν Ἑλλήνων ὀνομάζονται μεγάλαι νῆσοι, Κύπρος τε, καὶ Κρήτη, καὶ Ῥόδος, καὶ Λέσβος, καὶ Εὔβοια, καὶ Σικελία, καὶ Σαρδὼ, καὶ Κύρνος, καὶ εἴ τις ἄλλη μικροτέρα τε καὶ μείζων, ἅπαντα ταῦτ' ἐστὶ Ῥωμαίοις ὑπήκοα. καὶ τὸν βόρειον Ὠκεανὸν ἐς τὴν Βρεττανίδα νῆσον περάσαντες ἠπείρου μεγάλης μείζονα, τὸ κράτιστον αὐτῆς ἔχουσιν ὑπὲρ ἥμισυ, οὐδὲν τῆς ἄλλης δεόμενοι· οὐ γὰρ εὔφορος αὐτοῖς ἐστιν οὐδ' ἣν ἔχουσι· τούτων τοσούτων καὶ τηλικούτων ἐθνῶν ὄντων τὸ μέγεθος, Ἰταλίαν μετ' αὐτὴν ἐπιμόχθως τε καὶ

μόλις

μόλις ἐν πεντακοσίοις ἔτεσι κατέργάσαντο βεβαίως, καὶ τούτων τὰ ἡμίσεα βασιλεῦσιν ἐχρῶντο. τοὺς δὲ λοιποὺς τοὺς βασιλέας ἐκβαλόντες, καὶ ἐπομόσαντες οὐκ ἀνέξεσθαι βασιλέων, ἀριστοκρατίᾳ τε ἐχρήσαντο ἀπὸ τοῦδε, καὶ προστάταις ἄρχουσιν ἐτησίοις· διακοσίοις δὲ μάλιστα ἐξῆς ἐπὶ τοῖς πεντακοσίοις ἐπὶ μέγα ἦλθεν ἡ ἀρχὴ, καὶ ξενικῆς τε δυνάμεως ἐκράτησαν ἀπείρου, καὶ τὰ πλεῖστα τῶν ἐθνῶν τότε ὑπηγάγοντο. Γάϊός τε Καῖσαρ ὑπὲρ τοὺς τότε δυναστεύσας, καὶ τὴν ἡγεμονίαν κρατυνάμενός τε καὶ διαθέμενος ἐς φυλακὴν ἀσφαλῆ, τὸ μὲν σχῆμα τῆς πολιτείας καὶ τὸ ὄνομα ἐφύλαξε, μόναρχον δὲ ἑαυτὸν ἀπέστησε πᾶσι. καὶ ἔστιν ἥδε ἡ ἀρχὴ μέχρι νῦν ὑφ' ἑνὶ ἄρχοντι· οὓς βασιλέας μὲν οὐ λέγουσιν, ὡς ἐγὼ νομίζω, τὸν ὅρκον αἰδούμενοι τὸν πάλαι· αὐτοκράτορας δὲ ὀνομάζουσιν, ὃ καὶ τῶν προσκαίρων στρατηγῶν ὄνομα ἦν· εἰσὶ δὲ ἔργα τὰ πάντα βασιλεῖς. καὶ ἔστι καὶ τοῖσδε τοῖς αὐτοκράτορσιν ἐς τὸν παρόντα χρόνον, ἐγγυτάτω διακοσίων ἐτῶν ἄλλων, ἐν οἷς ἥτε πόλις μάλιστα κατεκοσμήθη, καὶ ἡ πρόσοδος ἐπιπλεῖστον ηὐξήθη, καὶ πάντα ἐν εἰρήνῃ μακρᾷ καὶ εὐσταθεῖ προῆλθεν εἰς εὐδαιμονίαν ἀσφαλῆ. καί τινα καὶ τοῖς προτέροις ἔθνεσιν οἵδε οἱ αὐτοκράτορες εἰς τὴν ἡγεμονίαν προσέλαβον, καὶ ἀφιστάμενα ἄλλα ἐκρατύναντο. ὅλως τε δι' εὐβουλίαν τὰ κράτιστα τῆς θαλάσσης ἔχοντες, αὔξειν ἐθέλουσι μᾶλλον,

Italos ipſos magno labore poſt quingenteſimum demum annum perdomuerunt: cujus temporis dimidium vixêre ſub regibus. Deinde his expulſis, jurejurando obſtricti neminem regem ſe paſſuros, per optimates rempubl. adminiſtrarunt, & per magiſtratus annuos. Ceterùm poſt quingentos illos annis ducentis maximè imperium immenſum crevit augmentis continuis, accedentibus innumeris externis auxiliis: quo temporis ſpatio plurimas populus Romanus acquiſivit provincias. Poſt hæc C. Cæſar ceteris ætatis ſuæ potentior, ubi principatum ſuum conſtabilivit, ſpeciem quidem reipub. noménque reliquit, ſibi tamen imperium in omnes uſurpavit: & ſic in hodiernum uni parent omnia: quem non regem dicunt, propter religionem opinor jurisjurandi veteris, ſed imperatorem nominant: quæ appellatio communis eſt eorum etiam qui ad certum tempus præſunt exercitibus: ſed revera omnino reges ſunt. Hoc genus imperatorum ætas in præſentem diem alteros CC annos penè complevit: quo tempore urbs reddita eſt ornatiſſima, aucta in immenſum etiam reditibus, longa conſtantíque pace res provehente ad felicitatem tutiſſimam. Nam imperatores hi, veteres etiam provincias ampliores fecerunt, alias conatas ab imperio deficere, continuerunt in officio. In ſumma, ut ſunt prudentes, contenti maritimis regionibus, omnium optimis, malunt has excolere, quàm imperium in infini-

infinitum proferre ad gentes barbaras, inopes domi, & nil lucri afferentes dominis. Quarum aliquot ego vidi in urbem legatos veniſſe, ut ſe ſuóſque populares dederent, nec receptos ab imperatore, ut ipſi inutiles: innumeris enim aliis gentibus ipſi dant reges, quòd imperium his opus non habeat: & ſunt provinciæ in quas inſumendum eſt, quum pudeat quamvis damnoſas abjicere. Ceterùm circumquaque in præſidio ſunt magni exercitus, qui tantum terræ mariſque tanquam regionem aliquam cuſtodiunt. Nec ullum imperium ad hanc ætatem vel tam amplum, vel tam diuturnum fuit. nam nec res Græcorum, etiam ſi quis eas exorſus à Dario, unde potiſſimùm claritatis initium, ad Philippum Amyntæ deducat, & Athenienſes, Lacedæmonios, Thebanóſque in unum congerat, tam apparebunt magnificæ. Nam illi pro dignitate ſuarum civitatum inter ſe certabant potius quàm pro parando imperio, nec ullum eorum certamen clarius fuit, quàm pro libertate adverſus oppugnantes eam reges exteros. Quòd ſi quis eorum navigavit in Siciliam ſpe augendi imperii, cladem accepit: aut ſi quis tranſivit in Aſiam, etiam is non magnis rebus geſtis reverſus eſt. In ſumma, Græcorum potentia quantumvis ambitioſa, extra Græciam nihil firmæ ditionis acquiſivit, contenta libertatem generis diu tueri, & invictæ virtutis opinionem: ceterùm

ἢ τὴν ἀρχὴν ἐς ἄπειρον ἐκφέρειν ἐπὶ βάρβαρα ἔθνη πενιχρὰ καὶ ἀκερδῆ. ὧν ἐγώ τινας εἶδον ἐν Ῥώμῃ πρεσβευομένους τε καὶ διδόντας ἑαυτοὺς ὑπηκόους εἶναι, καὶ οὐ δεξάμενον βασιλέα ἄνδρας οὐδὲν αὐτῷ χρησίμους ἐσομένους. ἔθνεσί τε ἄλλοις ἀπείροις τὸ πλῆθος αὐτοὶ διδόασι τοὺς βασιλέας, οὐδὲ αὐτῶν εἰς τὴν ἀρχὴν δεόμενοι. καὶ τῶν ὑπηκόων ἐνίοις προσαναλίσκουσιν, αἰδούμενοι, καίπερ ἐπιζημίους ὄντας, ἀποθέσθαι. τήν τε ἀρχὴν ἐν κύκλῳ περικάθηνται μεγάλοις στρατοπέδοις, καὶ φυλάσσουσι τὴν τοσήνδε γῆν καὶ θάλασσαν ὥσπερ χωρίον. ἀρχή τε οὐδεμία περιῆλθέ πω μέχρι νῦν εἰς τοσοῦτο μεγέθους καὶ χρόνου. οὔτε γὰρ τὰ Ἑλλήνων, εἴ τις ὁμοῦ τὰ Ἀθηναίων καὶ Λακεδαιμονίων, καὶ Θηβαίων δυναστευσάντων παρὰ μέρος, ἀπὸ τῆς Δαρείου στρατείας, ὅθεν αὐτοῖς ἐστὶν ἐλλαμπρύνεσθαι μάλιστα, ἐς τὴν Φιλίππου τοῦ Ἀμύντου τῆς Ἑλλάδος ἡγεμονίαν συναγάγοι, πολλὰ ἂν ἐπιφανείη. οἵ τε ἀγῶνες αὐτοῖς ἐγίνοντο οὐκ ἐπὶ ἀρχῆς περικτήσει μᾶλλον ἢ φιλοτιμίᾳ πρὸς ἀλλήλους, καὶ οἱ λαμπρότατοι περὶ τῆς αὐτῶν ἐλευθερίας πρὸς ἀρχὰς ἄλλας ἐπιούσας. εἰ δέ τινες αὐτῶν εἰς Σικελίαν πλεύσαντες, ἐπὶ ἀρχῆς ἑτέρας ἐλπίδι, προσέπταισαν. ἢ εἴ τις ἐς τὴν Ἀσίαν διῆλθε, μικρὰ καὶ ὧδε δράσας εὐθὺς ἐπανῄει. ὅλως τε ἡ Ἑλληνικὴ δύναμις, καίπερ ἐκθύμως ὑπὲρ ἡγεμονίας ἀγωνισαμένων, οὐ προῆλθεν ὑπὲρ τὴν Ἑλλάδα βεβαίως, ἀλλὰ δεινοὶ μὲν ἐγένοντο ἀδούλωτον αὐτὴν καὶ ἀήττητον κατασχεῖν ἐπι-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

πλεῖστον. ἀπὸ δὲ Φιλίππου τοῦ Ἀμύντου, καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, καὶ πάνυ μοι δοκοῦσι πρᾶξαι κακῶς καὶ ἀναξίως αὐτῶν. ἥ τε τῆς Ἀσίας ἀρχὴ, ἔργων μὲν πέρι καὶ ἀρετῆς, οὐδ' ἐς τὰ σμικρότατα τῶν Εὐρωπαίων παραβάλλεται, δι' ἀσθένειαν καὶ ἀτολμίαν τῶν ἐθνῶν. καὶ τοῦτο δηλώσει καὶ ἥδε ἡ γραφὴ προϊοῦσα. ὀλίγαις γὰρ μάχαις Ῥωμαῖοι τοσούτων τῆς Ἀσίας ἐθνῶν κατέσχον, ὅσων ἐπικρατοῦσι, καίτοι Μακεδόνων αὐτῶν ὑπερμαχομένων. τὰ δὲ πολλὰ περὶ τὴν Λιβύην καὶ τὴν Εὐρώπην ἐξετρίφθησαν. Ἀσσυρίων τε αὖ, καὶ Μήδων, καὶ Περσῶν, τριῶν τῶνδε μεγίστων ἡγεμονιῶν εἰς Ἀλέξανδρον τὸν Φιλίππου συντιθεμένων, οὔτ' ἂν ὁ χρόνος ἐφίκοιτο τῶν ἐνακοσίων ἐτῶν, ὅσα ἐστὶ Ῥωμαίοις ἐς τὸν παρόντα χρόνον. τό, τε μέγεθος τῆς ἀρχῆς τῆς ἐκείνων οὐδὲ ἐς ἥμισυ νομίζω, τῆσδε τῆς ἡγεμονίας ἀπαντᾶν, τεκμαιρόμενος, ὅτι Ῥωμαίοις ἀπό τε δύσεων καὶ τοῦ περὶ ἑσπέραν Ὠκεανοῦ, ἐπὶ τὸ Καύκασον ὄρος, καὶ ποταμὸν Εὐφράτην, καὶ ἐς Αἰθίοπας τοὺς ἄνω δι' Αἰγύπτου καὶ Ἀράβων ἐπὶ τὸν ἑῷον Ὠκεανὸν ἡ ἀρχὴ διεξέρχεται· καὶ ὅρος ἐστὶν αὐτοῖς ὁ Ὠκεανός ἀρχομένου τε καὶ δυομένου τοῦ θεοῦ· θαλάσσης τε πάσης ἡγεμονεύουσι τῆς ἐντὸς οὔσης, καὶ νήσων ἁπασῶν, καὶ ἐν τῷ Ὠκεανῷ Βρεττανῶν, Μήδοις τε καὶ Πέρσαις, ὅτε πλείστη θάλασσα, ἢ ὁ Παμφύλιος κόλπος ἦν, καὶ μία νῆσος ἡ Κύπρος, ἤ τι που ἄλλο σμικρὸν τῆς Ἰωνίας ἐν θαλάσσῃ· τοῦ τε Περσικοῦ κόλπου, καὶ γὰρ τοῦδε

poſt Amyntæ Philippum, & Alexandrum hujus filium, videntur mihi ſe ma'è geſſiſſe, & indignè ſuis majoribus. Aſiaticum quoque imperium rebus geſtis ac virtute minimè conferendum his quæ Europa protulit, propter infirmitatem ignaviámque earum gentium, apparebit in proceſſu hujus hiſtoriæ. Paucis enim prœliis Romani in ſuam poteſtatem redegerunt tot quas nunc tenent provincias, quamvis defenſas milite Macedonico: verùm circa Africam Europámque exhauſerunt laboris plurimum. Rurſus Aſſyriorum, Medorum, Perſarum tria maxima imperia ſimul congeſta ne tempus quidem nongentorum annorum æquare poſſunt, quantum duravit in hodiernum Romana potentia. Amplitudo verò illorum imperiorum dimidio minor fuit, ſi conferantur termini. ſiquidem Romani ab occidentali Oceano ad Caucaſum montem, & fluvium Euphratem, & Æthiopas qui ſunt ſupra Ægyptum ac Arabiam, uſque orientalem Oceanum imperant: atque ita ab occaſu ortúque ſolis clauduntur Oceano. maris quoque Mediterranei totius tenent dominium, & inſularum omnium, atque etiam in Oceano Britanniæ. Medi verò Perſæque quum plurimum mari pollebant, aut Pamphylium ſinum habuerunt cum una Cypro inſula, aut parvam aliquam partem Ioniæ regionis maritimæ. nec Perſici ſinus, quem in poteſtate habebant,

ampli-

amplitudo magna eſt. Jam Macedonum res ante Philippum Amyntæ filium fuere admodum tenues, nec uſquequaque liberæ. Ipſe Philippus laboravit ſatis feliciter, verùm intra Græciam regionéſque finitimas. Sub Alexandro demum regnum illud amplitudine, frequentia virorum, proſperitate victoriarum ac celeritate factum eſt florentiſſimum, & penè incomparabile: ceterùm fulguri ſimile, ob brevitatem temporis. Cujus quidem, vel in multas diſtracti ſatrapias, portiones diu retinuerunt ſplendorem priſtinum. Certè ſoli mei reges alebant ducenta millia peditum, quadraginta millia equitum, trecentos elephantes bello aſſuetos, curruum falcatorum duo millia, armorum quantum trecentis millibus ſufficiat. Præter hunc terreſtrem apparatum, duo millia actuariarum, & id genus minorum navium præſtò erant: longæ verò ab hemioliis uſque quinqueremes MD. inſtumentum longarum duplum, thalamegi auratis puppibus roſtríſque, quas ad oſtentationem in bello ipſi reges conſcendebant, DCCC. Pecuniæ verò numeratæ in theſauris DCCXL. talentorum Ægyptiorum millia. Totum enim hoc apparet ex regiis tabulis adhuc extantibus, in quas referebantur hujuſcemodi omnia; quas reliquit Alexandri ſucceſſor in regno Ægyptio, regum omnium parandis opibus attentiſſimus, & expendendis

ἐκράτουν, πόσοντι καὶ ὅπου πέλαγός ἐςι. τὰ δὲ δὴ Μακεδόνων τὰ μὲν περὶ Φιλίππου τοῦ Ἀμύντου καὶ πάνυ σμικρὰ ἦν, καὶ ἔστιν ἃ ὑπήκουσαν. τὰ δὲ αὐτοῦ Φιλίππου πόνου μὲν καὶ ταλαιπωρίας ἔγεμεν οὐ μεμπτῆς, ἀλλὰ καὶ ταῦτα περὶ τὴν Ἑλλάδα, καὶ τὰ πρόσχωρα ἦν. ἐπὶ δὲ Ἀλεξάνδρου μεγέθει τε καὶ πλήθει, καὶ εὐτυχίᾳ, καὶ ταχυεργίᾳ διαλάμψασα ἡ ἀρχὴ, καὶ ὀλίγου δεῖν εἰς ἄπειρον καὶ ἀμίμητον ἐλθοῦσα, διὰ τὴν βραχύτητα τοῦ χρόνου προσέοικεν ἀστραπῇ λαμπρᾷ· ἧς γε καὶ διαλυθείσης εἰς πολλὰς σατραπείας, ἐπὶ πλεῖστον ἐξέλαμπε τὰ μέρη. καὶ τοῖς ἐμοῖς βασιλεῦσι μόνοις ἦν στρατιά τε πεζῶν μυριάδες εἴκοσι, καὶ μυριάδες ἱππέων τέσσαρες, καὶ ἐλέφαντες πολεμισταὶ τριακόσιοι, καὶ ἅρματα ἐς μάχας δισχίλια, καὶ ὅπλα ἐς διαδοχὴν μυριάσι τριάκοντα. καὶ τάδε μὲν αὐτοῖς ἦν ἐς πεζομαχίαν· ἐς δὲ ναυμαχίας, κοντωτὰ καὶ ὅσα σμικρότερα ἄλλα δισχίλια, τριήρεις δὲ ἀπὸ ἡμιολίας μέχρι πεντήρους πεντακόσιαι καὶ χίλιαι. καὶ σκευὴ τριηρετικὴ διπλότερα τούτων, θαλαμηγά τε χρυσόπρυμνα, καὶ χρυσέμβολα ἐς πολέμου πομπὴν, οἷς αὐτοὶ διαπλέοντες ἐπέβαινον οἱ βασιλεῖς ὀκτακόσιοι. χρημάτων δὲ ἐν τοῖς θησαυροῖς τέσσαρες καὶ ἑβδομήκοντα μυριάδες ταλάντων Αἰγυπτίων· ἐς γὰρ δὴ τοσοῦτο παρασκευῆς τε καὶ στρατιᾶς ἐκ τῶν βασιλικῶν ἀναγραφῶν φαίνεται παραγαγών τε καὶ καταλιπών. ὁ δεύτερος Αἰγύπτου βασιλεὺς μετ' Ἀλέξανδρον, ὃς καὶ πορίσαι δεινότατος ἦν βασιλέων, καὶ δαπανῆσαι λαμπρότατος,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

πατος, καὶ κατασκευάσαι μεγαλουργότατος· φαίνεται δὲ καὶ πολλὰ τῶν ἄλλων σατραπειῶν οὐ πολὺ τούτων ἀποδέοντα, ἀλλὰ πάντα ἐς τοὺς ἐπιγόνους αὐτῶν συνετελέσθη, φθαρέντων ἐς ἀλλήλους, ᾧ μόνως ἀρχαὶ μεγάλαι καταλύονται στασιάσασαι· τὰ δὲ Ῥωμαίων μεγέθει τε καὶ εὐτυχίᾳ διήνεγκε δι᾽ εὐβουλίαν καὶ χρόνον, ἔστε τὴν περίκτησιν αὐτῶν ἀρετῇ καὶ φερεπονίᾳ καὶ ταλαιπωρίᾳ πάντας ὑπερῆραν, οὔτε ταῖς εὐπραγίαις ἐπαιρόμενοι, μέχρι βεβαίως ἐκράτησαν, οὔτε συστελλόμενοι ταῖς συμφοραῖς, ὧν γε καὶ δύο μυριάδες ἀνδρῶν ἐνίοτε μιᾶς ἡμέρας, καὶ ἑτέραι τέσσαρες ἀπόλλυνται, καὶ ἄλλης πέντε, καὶ περὶ τῆς πόλεως αὐτῆς πολλάκις ἐκινδύνευον, καὶ λιμοί τε καὶ λοιμοὶ συνεχεῖς, καὶ στάσεις, ὁμοῦ πάντα ἐπιπίπτοντα οὐκ ἀπέστησε τῆς φιλοτιμίας, ἕως ἑπτακοσίοις ἔτεσι κακοπαθοῦντές τε καὶ κινδυνεύοντες, ἀγχωμάλως τὴν ἀρχὴν ἐς τόδε προήγαγον, καὶ τῆς εὐτυχίας ὤναντο διὰ τὴν εὐβουλίαν. Καὶ τάδε πολλοὶ μὲν Ἑλλήνων, πολλοὶ δὲ Ῥωμαίων συνέγραψαν· καὶ ἔστιν ἡ ἱστορία τῆς Μακεδονικῆς μεγίστης δὴ τῶν προτέρων οὔσης πολὺ μείζων. ἀλλ᾽ ἐντυγχάνοντά με καὶ τὴν ἀρετὴν αὐτῶν ἐντελῆ καθ᾽ ἕκαστον ἔθνος ἰδεῖν ἐθέλοντα ἀπέφερεν ἡ γραφὴ πολλάκις ἀπὸ Καρχηδόνος ἐπὶ Ἴβηρας, καὶ ἐξ Ἰβήρων ἐπὶ Σικελίαν, ἢ Μακεδονίαν, ἢ ἐπὶ πρεσβείας, ἢ συμμαχίας ἐς ἄλλα ἔθνη γινομένας· εἶτ᾽ αὖθις ἐς Καρχηδόνα

ſplendidiſſimus, magnificentiſſimúſque in operibus. Conſtat autem alias quoque ſatrapias non multo deteriores fuiſſe, omnes tamen attritas poſterorum conflictationibus mutuis, quod diſſidium ſingularis peſtis magnorum regnorum eſt. At Romanum imperium magnitudine felicitatéque præſtitit propter diuturnitatem ſuam, & ſenatus in conſiliis providentiam: quanquam nec virtus, nec tolerantia laborum difficultatúmque ſumma in eo parando defuit. Quas tamen felicitates ſucceſſuum moderatè tulerunt donec opes confirmarentur: ac ne cladibus quidem ceſſerunt, aliquoties XX millibus amiſſis una ſtrage, interdum quadraginta aut quinquaginta, non ſemel de ipſa Urbe adducti in periculum, intercedente continuè nunc fame, nunc ſeditione, nunc peſtilentia: quæ omnia cohibere ambitionem non potuere, donec DCC annis eluctati per tot ærumnas ac pericula, uno eodémque tenore imperium ſuum provexerunt ad hoc faſtigium, ut felicitatis prudentiæque fructum perciperent uberrimum. Eas res multi Græci, multi Romani autores ſcripto prodiderunt: & eſt argumentum copioſius, quàm rerum Macedonicarum, quondam longè ampliſſimarum. Me verò contemplatum eorum virtutem, & eam ſpectare cupientem per gentes ſingulas, ſtilus huc illuc traduxit è Carthagine in Hiſpaniam, inde porro in Siciliam aut Macedoniam, aut ad legationes auxiliave aliarum atque aliarum gentium: inde rurſum reduxit Carthagi-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

nem aut in Siciliam errabundum, ac rurſum ab his imperfectis aliò tranſtulit: donec per partes mihi ipſi congeſſi quoties in Siciliam exercitus aut legatos miſerint, quidve in ea inſula geſſerint, donec in præſentem formam eam redegerunt. item quot bella, quot fœdera legationéſve ultro citróq; miſſæ inter duos populos interceſſerint, quas clades mutuò vel intulerint vel acceperint, donec Carthago eſt diruta, & Africa facta provincia rurſuſque inſtaurata Carthagine, Africa ad præſentem ſtatum devenit. Idem feci per ſingulas provincias, cupiens cognoſcere quid in unaquaque Romani geſſerint: ut ſcirem cujuſque gentis vel ignaviam vel induſtriam, tum victoris populi virtutem atque fortunam, & ſiquis interea caſus memorabilis incidit. Moxque ratus & aliis gratum fore ad hunc modum res Romanas perdiſcere, provinciatim narrationem aggreſſus ſum, omiſſis quæ interim alibi geſta ſunt, & dilatis in ſuum ordinem. Tempus ubique aſcribere operæ viſum eſt ſupervacuæ: tantum ex intervallo admonebimus ejus in rebus notatu dignioribus. Ceterùm nomen olim cuique Romano unum erat, ut ceteris omnibus: pòſt acceſſit alterum: nec ita dudum etiam tertium cœptum eſt addi quibuſdam, quo magis agnoſcerentur ex aliqua nota corporis, aut virtute animi: quemadmodum & Græci aliquot nominibus adjuncta habebant cognomina. Ego interdum ponam

ἀνῆγον, ἢ Σικελίαν ὥσπερ ἀλώμενοι, καὶ πάλιν ἐκ τούτων ἀτελῶν ἔτι ὄντων μετέφερεν. ἕως δὲ τὰ μέρη συνήγαγον ἐμαυτῷ, ὁσάκις ἐς Σικελίαν ἐστράτευσαν, ἢ ἐπρέσβευσαν, ἢ ὁποῖον ἔπραξαν ἐς Σικελίαν, μέχρι κατέστησαν αὐτὴν ἐς τὸν κόσμον τὸν παρόντα· ὁσάκις τε αὖ Καρχηδονίοις ἐπολέμησαν, ἢ ἐσπείσαντο, ἢ ἐπρέσβευσαν ἐς αὐτούς, ἢ πρεσβείας ἐδέξαντο παρ' ἐκείνων, ἢ ἔδρασαν ὁποῖον, ἢ ἔπαθον πρὸς αὐτῶν, ἕως Καρχηδόνα κατέσκαψαν, καὶ τὸ Λιβύων ἔθνος προσέλαβον, καὶ αὖθις ᾤκησαν αὐτοῖς Καρχηδόνα, καὶ Λιβύην κατέστησαν ἐς τὰ νῦν ὄντα. καὶ τόδε μοι κατὰ ἔθνος ἕκαστον ἐπράχθη βουλομένῳ τὰ ἐς ἑκάστους ἔργα Ῥωμαίων καταμαθεῖν, ἵνα τὴν τῶν ἐθνῶν ἀσθένειαν, ἢ φερεπονίαν, καὶ τὴν τῶν ἑλόντων ἀρετὴν, ἢ εὐτυχίαν, ἢ εἴ τι ἄλλο συγκύρημα συνηνέχθη, καταμάθοιμι. νομίσας δ' αὐτίκα καὶ ἄλλον οὕτως ἐθελήσειν μαθεῖν τὰ Ῥωμαίων, συγγράφω κατὰ ἔθνος ἕκαστον. ὅσα δὲ ἐν μέσῳ πρὸς ἑτέρους αὐτοῖς ἐγίνετο, ἐξαιρῶ, καὶ εἰς τὰ ἐκείνων μετατίθημι. τοὺς δὲ χρόνους ἐπὶ μὲν πᾶσι περισσὸν ἡγούμην καταλέγειν· ἐπὶ δὲ τῶν ἐπιφανεστάτων ἐκ διαστήματος ὑπομνήσω. καὶ τὰ ὀνόματα Ῥωμαίοις πάλαι μὲν ἦν ἕν, ὥσπερ ἀνθρώποις ἅπασιν ἑκάστῳ, μετὰ δὲ ἐγένοντο δύο, καὶ οὐ πολὺς χρόνος ἐξ οὗ καὶ τρίτον ἤρξατό τισιν ἐς ἐπίγνωσιν ἐκ πάθους ἢ ἀρετῆς προστίθεσθαι, καθὰ καὶ τῶν Ἑλλήνων τισὶν ἐπὶ τὰ ὀνόματα ἦσαν ἐπικλήσεις· ἐγὼ δὲ ἔστι μὲν ὅπου καὶ πάντων ἐπιμνή-

σομαι,

σομαι, καὶ μάλιστα ἐπὶ τῶν ἐπιφανῶν ἐς γνώρισμα τῶν ἀνδρῶν· τὰ δὲ πολλά, καὶ τούτους, καὶ τοὺς ἄλλους, ἃ κυριώτατα ἡγοῦμαι προσαγορεύσω. Τριῶν δὲ βίβλων οὐσῶν, αἳ τὰ ἐς τὴν Ἰταλίαν ὄντα αὐτοῖς πολλὰ πεπραγμένα συνάγουσι, τὰς μὲν τρεῖς ἡγητέον εἶναι Ῥωμαϊκῶν Ἰταλικῶν· διὰ δὲ πλῆθος ἔργων διῄρηνται· καὶ δηλοῦσιν, ἡ μὲν προτέρα τὰ τῶν βασιλέων ἑπτὰ γενόμενα ἔργα, ἐφεξῆς ἅπαντα ἐφ᾽ ἑαυτῶν ὡς ἐγένετο, καὶ αὐτὴν ἐπιγράφω, Ῥωμαϊκῶν Βασιλικήν. ἡ δὲ ἑξῆς τὰ ἐς τὴν ἄλλην Ἰταλίαν, χωρίς γε τῶν παρὰ τὸν κόλπον τὸν Ἰόνιον, ἐς δὲ σύγκρισιν τῆς προτέρας ἥδε λέγεται, ἡ ἑξῆς Ῥωμαϊκῶν Ἰταλική. τελευταίῳ δὲ ἔθνει Σαυνίταις, οἱ παρὰ τὸν Ἰόνιον ᾤκηνται, μεγάλῳ τε καὶ χαλεπῷ, ὀγδοήκοντα ἔτεσι συνεπλάκησαν, μέχρι καὶ τούσδε, καὶ ὅσα σφίσιν ἐγγὺς ἔθνη συνεμάχει, καὶ Ἕλληνας ὅσοι ὑπὸ τὴν Ἰταλίαν εἰσίν, ὑπηγάγοντο· καὶ ἔστιν ἥδε τῶν προτέρων εἰς σύγκρισιν, Ῥωμαϊκῶν Σαυνιτική· τὰ δὲ λοιπὰ τούτων ἑκάστη κατὰ λόγους ἐπιγράφονται, Ῥωμαϊκῶν Κελτική τε, καὶ Σικελική, καὶ Ἰβηρική, καὶ Ἀννιβαϊκή, καὶ Καρχηδονιακή, καὶ Μακεδονική, καὶ ἐφεξῆς ὁμοίως. τέτακται δ᾽ αὐτῶν ἄλλη μετ᾽ ἄλλην, ὡς ἑκάστῳ πολέμῳ τὴν ἀρχὴν πρὸς ἑτέρου λαβεῖν συνέπεσεν, εἰ καὶ τὸ τέλος τοῦ ἔθνους μετὰ πολλὰ ἕτερα γένηται. ὅσα δ᾽ αὐτοὶ Ῥωμαῖοι πρὸς

omnia, præſertim virorum illuſtrium, quò noſcantur facilius: pleroſque autem vel horum, vel aliorum, eo appellabo quod videbitur maximè proprium. Quum autem tres ſint libri, quibus res populi Romani intra Italiam geſtæ, ſanè non paucæ, continentur, exiſtimandi ſunt omnes narrare de bellis Romanorum Italicis, licet diſtincti ſint propter memorabilium rerum copiam. Horum primus geſta ſeptem regum cuncta complectitur, eo quo regnarunt ordine, cui feci titulum, Romanarum hiſtoriarum liber de regibus. Sequuntur res geſtæ per Italiam univerſam, abſque populis qui mare Ionium accolunt, qui liber ad differentiam prioris inſcribitur, Romanarum hiſtoriarum de his bellis quæ deinceps poſt reges pulſos geſta ſunt in Italia. Ultimi omnium in ea terra Samnites, Ionio mari propinqui, gens magna & ferox, per octoginta annos cum Romanis conflictati ſunt: donec & ipſi, & eorum ſocii, Græci quoque qui habitant intra Italiam, ſubacti ſunt. hic ad priorum diſcrimen dicetur, Romanarum hiſtoriarum liber de bello Samnitico. Reliquorum ſinguli pro ſuo quiſque argumento habebunt titulos: Romanarum hiſtoriarum liber de bellis Gallicis, vel Sicilienſibus, vel Hiſpanienſibus, vel de bello Annibalis, vel de bellis Punicis, vel Macedonicis, ceteríſque ſimiliter. Quorum ordo eſt ſecundum ordinem temporum, quibus cœpta finitáve ſunt, etiam ſi aliquando alia multa intervenerint. Seditiones verò domeſticæ bellá-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

que civilia, horrenda præ ceteris, prodentur juxta ætates autorum, qui hos motus concitarunt, videlicet Marius & Sylla, Pompeius & Cæſar, Antonius alterque Cæſar, Auguſtus cognomine, & interfectores ſuperioris Cæſaris: poſtremum erit quo ipſi victores inter ſe commiſſi ſunt, civilium bellorum noviſſimum, quo tempore Ægyptus quoque venit ſub Romanum imperium. Ita res ſingularum gentium in ſuos libros, & bella civilia juxta ſuos duces, digeruntur. Ultimus liber, quantis exercitibus muniatur hoc imperium, quantóſque reditus habeat è ſingulis provinciis, tum ſi quid ſuperimpendit in claſſes præſidiarias & navales ſocios, indicabit, ceteráque hujuſmodi. Aptiſſimum autem exordium ab ipſorum genere ſumetur, ſcripturo de eorum virtutibus. Quis verò hæc ſcribam, multi norunt, & ipſe antè docui: ut autem apertius dicam, Alexandrinus ſum honeſtiſſimo loco habitus in patria, verſatúſque Romæ in agendis cauſis apud Auguſtorum tribunalia, donec me inter ſuos Procuratores optaverunt. cetera qui volet ſcire, ex commentariis de hac ipſa re ſcriptis cognoſcere poterit.

ἀλλήλους ἐστασίασάν τε καὶ ἐπολέμησαν ἐμφύλια, φοβερώτερα σφίσι ταῦτα μάλιστα γενόμενα, ἐς τοὺς στρατηγοὺς τῶν στάσεων διῄρηται· τὰ μὲν ἐς Μάριόν τε καὶ Σύλλαν, τὰ δὲ ἐς Πομπήϊόν τε καὶ Καίσαρα, τὰ δὲ ἐς Ἀντώνιόν τε καὶ τὸν ἕτερον Καίσαρα τὸν Σεβαστὸν ἐπίκλην, πρὸς τοὺς ἀνδροφόνους τοῦ προτέρου Καίσαρος· τὰ δὲ ἐς ἀλλήλους αὐτῶν, Ἀντωνίου τε καὶ Καίσαρος στασιασάντων, ᾧ τινι τελευταίῳ τῶν ἐμφυλίων ὄντι καὶ Αἴγυπτος ὑπὸ Ῥωμαίων ἐς μοναρχίαν περιῆλθεν. ὧδε μὲν ἐς βίβλους ἕκαστα τῶν ἐθνῶν, ἢ στρατηγῶν τὰ ἐμφύλια διῄρηται. ἡ δὲ τελευταία καὶ τὴν στρατιὰν αὐτῶν ὅσην ἔχουσιν, ἢ πρόσοδον ἣν καρποῦνται καθ᾽ ἕκαστον ἔθνος, ἢ εἴ τι προσαναλίσκουσιν εἰς τὰς ἐπινείους φρουράς, ὅσα τε τοιουτότροπα ἄλλα ἐπιδείξει. ἁρμόζει δὲ ἀπὸ τοῦ γένους ἄρξασθαι τὸν περὶ τῆς ἀρετῆς αὐτῶν συγγράφοντα. τίς δὲ ὢν ταῦτα συνέγραψα, πολλοὶ μὲν ἴσασι, καὶ αὐτὸς προέφηνα, σαφέστερον δ᾽ εἰπεῖν, Ἀλεξανδρεὺς ἐς τὰ πρῶτα ἥκων ἐν τῇ πατρίδι, καὶ δίκαις ἐν Ῥώμῃ συναγορεύσας ἐπὶ τῶν βασιλέων, μέχρι με σφῶν ἐπιτροπεύειν ἠξίωσαν. καὶ εἴ τῳ σπουδὴ καὶ τὰ λοιπὰ μαθεῖν, ἔστι μοι καὶ περὶ τούτου συγγραφή.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

ΑΠΠΙΑΝΟΥ ἈΛΕΞΑΝΔΡΕΩΣ ῬΩΜΑΙΚΩΝ ΛΙΒΥΚΗ Ἢ ΚΑΡΧΗΔΟΝΙΚΗ.

ΚΑΡΧΗΔΟΝΑ τὴν ἐν Λιβύῃ Φοίνικες ᾤκισαν ἔτεσι πεντήκοντα πρὸ ἁλώσεως Ἰλίου. οἰκισταὶ δ' αὐτῆς ἐγένοντο Ζῶρός τε καὶ Καρχηδών· ὡς δὲ Ῥωμαῖοι καὶ αὐτοὶ Καρχηδόνιοι νομίζουσι, Διδὼ, γυνὴ Τυρία, ἧς τὸν ἄνδρα κατέκαινε Πυγμαλίων, Τύρου τυραννεύων· καὶ τὸ ἔργον ἐπέκρυπτεν. ἡ δὲ ἐξ ἐνυπνίου τὸν φόνον ἐπέγνω, καὶ μετὰ χρημάτων πολλῶν καὶ ἀνδρῶν, ὅσοι Πυγμαλίωνος τυραννίδα ἔφευγον, ἀφικνεῖται τῆς Λιβύης ἔνθα νῦν ἐστι Καρχηδών. ἐξωθούμενοι

APPIANI ALEXANDRINI ROMANARVM HISTORIARUM DE BELLIS PUNICIS LIBER.

CARTHAGINEM in Africa Phœnices condiderunt, annis L ante captum Ilium. Conditores fuere Xorus & Carchedon: ut autem Romani ipſique Carthaginienſes exiſtimant, Dido, mulier Tyria: cujus maritum Pygmalion Tyri tyrannus clam interfecerat. Illa, per ſomnum cæde cognita, cum pecuniis multiſque viris, tyrannidem fugientibus, navibus in Africam venit, ubi nunc Carthago eſt. Quumque repellerentur ab Afris,

Carthago à quibus & quando condita.

Xorus. Carchedon.

Dido.

Pygmalion Didus maritum interficit.

Οἰκισταὶ δ' αὐτῆς ἐγένοντο Ζωρός τε καὶ Καρχηδών] Cum Appiano conveniunt Philiſtus Naucratita, Euſebius in Chronico, Stephanus de Urbibus & Hieronymus, ac Carthaginem à Zoro vel Xoro & Carchedone conditam ſcribunt. Hos tamen Salmaſ. in Solinum, Voſſius Theol. Gent. & Bochartus refellunt, noſque docent, *Zorum* & *Carchedonem* urbium, non conditorum eſſe nomina. Nempe *Zorus* eſt idem quod *Tſor* Phœnicium, Tyri nomen. Ita efferebant veteres. Liber nominum in Hieronymo cap. de Marco: *Tyrus quippe lingua Hebræa Zor dicitur.* Et Καρχηδὼν eſt Carthago. Verum nomen erat *Carthada.* i.e. nova urbs. Solinus: *Eliſſa mulier extruxit, & Carthadam dixit, quod phœnicum ore exprimit civitatem novam.* Inde eſt, quod utraque Carthago tam Libyca quam Iberica Græce dicta eſt Καινὴ πόλις, ut videre eſt apud Stephanum & Euſtathium. Porro de conditu Urbis videatur Scaliger de Emend. tempor. & in Not. ad Euſeb.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

fris, petiere tantum loci ad incolendum, quantum tauri tergus comprehenderet. Riſerunt illi Phœnicum ſordes, & puduit tantillam rem pernegare: ſed maximè mirati ſunt, quomodo oppidum in eo ſpatio poſſet fieri: cupidique videndi commentum illud ingenioſum, jurati promiſerunt ſe daturos. Phœnices, ſecto in orbem corio, ſic, ut unam corrigiam efficerent tenuiſſimam, circumtenderunt ubi nunc eſt arx Carthaginienſium: quam inde Byrſam nominant. Procedente tempore, ex hac ſede incurſantes finitimos & vincentes, navibus quoque per mare victum quærentes, more patrio, arci urbem circumdederunt. Jamque potentes obtinuerunt Africam, mari latè imperantes, ſuſceptis etiam externis expeditionibus in Siciliam & Sardiniam, aliasque maris ejus inſulas, & in Hiſpaniam quoque:

Phœnicum dolus.

Byrſa.

δ' ὑπὸ τῶν Λιβύων, ἐδέοντο χωρίου ἐς συνοικισμὸν λαβεῖν, ὅσον ἂν βύρσα ταύρου περιλάβῃ. τοῖς δ' ἐνέπιπτε μέν τι καὶ γέλωτος ἐπὶ τῇ τῶν Φοινίκων μικρολογίᾳ, καὶ ᾐδοῦντο ἀντειπεῖν περὶ οὕτω βραχυτάτου. μάλιστα δ' ἠπόρουν ὅπως ἂν πόλις ἐν τηλικούτῳ διαστήματι γένοιτο· καὶ ποθοῦντες ἰδεῖν ὅ, τι ἐστὶν αὐτοῖς τοῦτο τὸ σοφὸν, συνέθεντο δώσειν, καὶ ἐπώμοσαν. οἱ δὲ, τὸ δέρμα περιτεμόντες ἐς ἱμάντα ἕνα στενότατον, περιέθηκαν ἔνθα νῦν ἐστὶν ἡ Καρχηδονίων ἀκρόπολις· καὶ ἀπὸ τοῦδε Βύρσα ὀνομάζεται. χρόνῳ δ' ἐντεῦθεν ὁρμώμενοι, καὶ τῶν περιοίκων ἀμείνους ὄντες ἐς χεῖρας ἐλθεῖν, ναυσί τε χρώμενοι, καὶ τὴν θάλασσαν οἷα Φοίνικες ἐργαζόμενοι, τὴν πόλιν τὴν ἔξω τῇ Βύρσῃ περιέθηκαν. καὶ δυναστεύοντες ἤδη, Λιβύης ἐκράτουν καὶ πολλῆς θαλάσσης· ἐκδήμους τε πολέμους ἐστράτευον ἐς Σικελίαν, καὶ Σαρδὼ, καὶ νήσους ἄλλας ὅσαι τῆσδε τῆς θαλάσσης εἰσὶ, καὶ ἐς Ἰβηρίαν. πολλαχῇ δὲ καὶ ἀποικίας

Οἱ δὲ τὸ δέρμα περιτεμόντες] Fabulam de bovis corio in tenuiſſimas partes diſſecto, unde *byrſæ* factum ſit nomen, jam pridem docti exploſerunt. Nec fidem meretur, quod quidam ſtatuunt, tempore Didonis, quo Carthaginis fundamenta locavit, pecuniam de corio bubulo (quos nummos D. Hieronymus *Scorteos* vocat) in uſu fuiſſe. Neque magis veriſimile, Didonem, Pygmalionis tyrannidem fugientem, tot boum attuliſſe terga, quibus tantam terræ portionem, facta permutatione, comparaverit, in qua arcem illam condiderit, cui poſtea urbem circumdederit, quæ ſecundum Strabonem, C CCLX ſtadiorum, Livium XXIII. M. Eutropium XXII. M. Oroſium XX. M paſſuum ambitum haberet. Statuendum potius Βύρσαν Græcis dici pro *Boſra* ad vitandam κακοφωνίαν. Græcæ enim linguæ genius non patitur, ut *R* poſt *S* ponatur. *Boſra* a. eſt arx, munimentum: adeo ut recte noſtro ut & Straboni Βύρσα, Ἀκρόπολις, & τὸ ὀχυρώτατον τῆς πόλεως dicatur. Et merito cum Byrſæ ambitus, autore Servio, ad libr. I. Æneid. Virgil. fuerit ſtadiorum XXII. vel quemadmodum tradidit Eutropius, plus quam II. M. paſſuum, & in vertice habuerit Æſculapii templum, quod ſcribitur tantæ fuiſſe capacitatis, ut Byrſa à Scipione capta, in eo per ſeptem dies quinquaginta hominum millia delituerint.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

ἀποικίας ἐξέπεμπον. ἥ τε ἀρχὴ αὐτοῖς ἐγένετο, δυνάμει μὲν ἀξιόμαχος τῇ Ἑλληνικῇ, περιουσίᾳ δὲ μετὰ τὴν Περσικήν. ἑπτακοσίοις δ' αὐτοὺς ἔτεσιν ἀπὸ τοῦ συνοικισμοῦ Ῥωμαῖοι Σικελίαν ἀφείλοντο, καὶ Σαρδὼ μετὰ Σικελίαν· δευτέρῳ δὲ πολέμῳ καὶ Ἰβηρίαν. ἔς τε τὴν ἀλλήλων ἐμβαλόντες μεγάλοις στρατοῖς, οἱ μὲν, Ἀννίβου σφῶν ἡγουμένου τὴν Ἰταλίαν ἐπόρθουν ἑκκαίδεκα ἔτεσιν ἑξῆς· οἱ δὲ Λιβύην, Κορνηλίου Σκιπίωνος τοῦ πρεσβυτέρου σφῶν στρατηγοῦντος· μέχρι τὴν ἡγεμονίαν Καρχηδονίους ἀφείλοντο, καὶ ναῦς, καὶ ἐλέφαντας, καὶ χρήματα σφίσιν ἐπέταξαν ἐπενεγκεῖν ἐν χρόνῳ. δεύτεραί τε σπονδαὶ Ῥωμαίοις καὶ Καρχηδονίοις, αἵδε διέμειναν ἐς ἔτη πεντήκοντα· μέχρι λύσαντες αὐτὰς, τρίτον πόλεμον καὶ τελευταῖον ἀλλήλους ἐπολέμησαν· ἐν ᾧ Καρχηδόνα Ῥωμαῖοι κατέσκαψαν, Σκιπίωνος τοῦ νεωτέρου σφῶν στρατηγοῦντος, καὶ ἐπάρατον ἔγνωσαν. αὖθις δ' ᾤκισαν ἰδίοις ἀνδράσιν, ἀγχυτάτω μάλιστα τῆς προτέρας, ὡς εὔκαιρον ἐπὶ Λιβύῃ χωρίον. τούτων τὰ μὲν ἀμφὶ Σικελίαν ἡ Σικελικὴ γραφὴ δηλοῖ· τὰ δ' ἐν Ἰβηρίᾳ γενόμενα, ἡ Ἰβηρική· καὶ ὅσα Ἀννίβας ἐς Ἰταλίαν ἐσβαλὼν ἔπραξεν, ἡ Ἀννιβαϊκή· τὰ δ' ἐν Λιβύῃ γενόμενα ἀπ' ἀρχῆς, ἥδε συνάγει.

Ἤρξαντο δ' αὐτῶν ἀμφὶ τὸν Σικελικὸν πόλεμον οἱ Ῥωμαῖοι, ναυσὶ πεντήκοντα καὶ τριακοσίαις ἐπιπλεύσαντες ἐς Λιβύην, καὶ πόλεις τινὰς ἑλόντες, καὶ στρατηγὸν ἐπὶ τῇ δυνάμει καταλιπόντες Ἀτίλιον Ῥή-

paſſimque deductis coloniis, ſic imperium acquiſiverunt, Græcorum conferendum viribus, 2
Perſarum verò opibus. Septingenteſimo autem anno à Carthagine condita, Romani abſtulerunt eis Siciliam, & paulo pòſt Sardiniam: ſecundo verò bello Punico Hiſpaniam. invadentesque alteri alteros magnis copiis in ſuis ſedibus, Pœni Annibale duce per XVI annos vaſtarunt Italiam: Romani verò Africam, Cornelii Scipionis majoris auſpiciis: donec Carthaginienſibus imperium, claſſes, elephantos ademerunt, pecuniamque ad certum tempus perſolvendam imperarunt. Tum verò pax reddita ex fœdere manſit per annos L. donec hac quoque turbata, tertium ac noviſſimum bellum Punicum exortum eſt: quo victores Romani diruerunt Carthaginem ductu Scipionis minoris, additis in inſtauratores diris imprecationibus: coloniam tamen deduxerunt in locum proximum, opportunam ad Afros continendos in officio. Cæterùm quæ Carthaginienſes in Sicilia geſſerunt, continet hiſtoria Sicula, ſicut Hiſpanienſis, quæ geſſerunt in Hiſpania, Annibalica item, quæ is geſſit in Italia: hoc volumen peculiariter rebus in Africa ab initio geſtis dicatum eſt.

Romani Carthaginienſibus Siciliam auferunt, Sardiniam & Hiſpaniam.

Annibal Italiam vaſtat.

Cornelius Scipio Africam.

Carthago diruta ductu Scipionis minoris.

Hiſtoria Sicula. Hiſpanienſis. Annibalica.

Incipiemus autem à tempore belli Siculi, quando Romani CCCL navibus appulerunt in Africam & captis aliquot urbibus, cum exercitu & poteſtate reliquerunt ibi Atilium Regulum. Is

Bellum Siculum.

Atilius Regulus.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

alia ducenta oppida occupavit, quæ tædio Carthaginienſium ad eum defecerunt: progreſſusque ulterius, agrum eorum ſuburbanum populatus eſt. Illi à Lacedæmoniis ducem petierunt, rati per bonorum imperatorum inopiam afflictas res ſuas: à quibus impetrarunt Xanthippum. Atilius, qui ad ſtagnum caſtrametatus fuerat, circum oram ejus contra hoſtes iter faciebat æſtuoſo tempore, gravibus armis, ſiti, æſtu laboreque preſſus, & è præruptis locis impetitus miſſilibus: ſub veſperam autem ubi acceſſit ad fluvium, quo ab hoſtili exercitu dirimebatur, continuò traduxit ſuos in ripam ulteriorem, ut ſic quoque terreret Xanthippum. At ille ſuos inſtructos è caſtris immiſit in eum, ratus facilem fore de feſſis & malè affectis victoriam, & noctem profuturam victoribus: nec fruſtratus eſt

Carthaginienſes à Lacedæmoniis ducem petunt. Xanthippus.

3 ſua ſpe: nam è triginta virorum millibus, quibus Atilius præerat, pauci evaſere Clypeam, reliqui omnes aut cæſi aut capti ſunt: proconſul quoque venit in poteſtatem hoſtium. Hunc non multo pòſt Carthaginienſes feſſi miſerunt cum ſuis legatis Romam, ut aut pacem eis impetraret, aut reverteretur: ille clam collocu-

Clypea urbs.

Clades Romanorum.

γλον· ὃς ἄλλας τε πόλεις διακοσίας προσέλαβεν, αἳ Καρχηδονίων ἔχθει πρὸς αὐτὸν μετετίθεντο, καὶ τὴν χώραν ἐπιὼν ἐπόρθει. Καρχηδόνιοι δὲ Λακεδαιμονίους στρατηγὸν ᾔτουν, οἰόμενοι δι' ἀναρχίαν κακοπραγεῖν. οἱ μὲν δὴ Ξάνθιππον αὐτοῖς ἔπεμπον· ὁ δὲ Ἀτίλιος ἀμφὶ λίμνῃ στρατοπεδεύων, ὥρᾳ καύματος περιώδευε τὴν λίμνην ἐπὶ τοὺς πολεμίους, ὅπλων τε βάρει, καὶ δίψῃ καὶ πνίγει καὶ ὁδοιπορίᾳ κακοπαθῶν, καὶ βαλλόμενος ἀπὸ κρημνῶν ἄνωθεν. ὡς δ' ἐπλησίασε περὶ ἑσπέραν, καὶ ποταμὸς αὐτοὺς διεῖργεν, ὁ μὲν εὐθὺς ἐπέρα τὸν ποταμόν, ὡς καὶ τῷδε τὸν Ξάνθιππον ἐκπλήξων· ὁ δὲ συντεταγμένην τὴν στρατιὰν ἐπαφίησι διὰ τῶν πυλῶν, ἐλπίσας κεκμηκότος καὶ κακοπαθοῦντος περιέσεσθαι, καὶ τὴν νύκτα πρὸς τῶν νικώντων ἔσεσθαι. τῆσδε μὲν οὖν τῆς ἐλπίδος ὁ Ξάνθιππος οὐκ ἀπέτυχεν· ἀπὸ γὰρ τρισμυρίων ἀνδρῶν, οὓς ὁ Ἀτίλιος ἦγεν, ὀλίγοι μόλις αὐτῶν ἐς Ἀσπίδα πόλιν διέδρασαν· οἱ δὲ λοιποὶ πάντες, οἱ μὲν ἀπώλοντο, οἱ δ' ἐζωγρήθησαν. καὶ μετ' αὐτῶν ὁ στρατηγὸς Ἀτίλιος, ὕπατος γεγονώς, αἰχμάλωτος ἦν. τόνδε μὲν δὴ μετ' οὐ πολὺ κάμνοντες οἱ Καρχηδόνιοι, σὺν οἰκείοις πρέσβεσιν ἔπεμψαν ἐς Ῥώμην ἐργασόμενον σφίσι διαλλαγάς, ἢ ἐπανήξοντα. καὶ ὁ Ἀτίλιος Ῥῆγλος ἐν ἀπορ-

Καὶ ὁ Ἀτίλιος Ῥῆγλος] Hanc hiſtoriam vel potius fabulam, plerique Romanorum poſteris, ut veram, tradiderunt. Cicero de officiis tertio eam habet, & vigiliis necatum Atilium ait: ut & in oratione in Piſonem reſectas ei palpebras dixit: & Horatius Carminum 3. ode 5. Silius Italicus vero in eo argumento tragicè debacchatur: eos auctores ſequutus Zonaras eadem de morte Atilii narravit: ii omnes Appiani huic loco concinere videntur. Si dixero me tantis & talibus auctoribus fidem non habere, riſum forte tuum, vel

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

ἐν ἀπορρήτῳ τοῖς τέλεσι Ῥωμαίων ἐπισκήψας ἐγκρατῶς ἔχεσθαι τοῦ πο-	tus cum Romanis honoratioribus, autor eis fuit bellum continuandi,

Servi ad libertatem vocati.

Aſdrubal capitis damnatus.

que ad libertatem vocatis. deinde ubi cognovit capitis ſe damnatum à ſuis civibus ob malè adminiſtratam militiam, ſucceſſore dato Hannone, Bomilcaris filio, exercitum ſibi uſurpabat, adjungens maleficos, & ſecum omnes trahens, quà ſpes commeatuum duceret, exercitando durabat equitum circiter tria millia, peditum octo millia, rebus deſperatis ni vincere contingeret. Hæc ejus ſtudia tam Romanos quàm Pœnos diu latuerunt. Ceterùm Scipio ad ipſam Carthaginem armatas duxit copias, ſuperbè invitans ad prælium, nemine contrà prodeunte. At Amilcar claſſis præfectus cum centum navibus properavit in portum Scipionis: ratus, priuſquam ille reverteretur, viginti Romanas triremes ibi ſe facilè cum ſuis centum expugnaturum. Eum quum Scipio vidiſſet ſolvere, præmiſit qui os portus obſtruerent, onerariis per intervalla in ancoris diſpoſitis, ut triremes, tanquam per portas, quando tempus poſceret, poſſent excurrere: naves etiam inter ſe antennis colligarent & conjungerent, ut vice muri eſſent: móxque ipſe ſuperveniens adjuvit intentos huic operi. Quúmque Carthaginienſes machinis ac miſſilibus impeterentur, à navibus pariter & à terra muróque naves eorum frangebantur: feſſique diſceſſerunt circa veſperam. In abeuntes Romanæ per intervalla dicta erumpebant, & quoties vim ferre non poſſent, retro ſe per eadem recipiebant: unam etiam

Hanno Bomilcaris filius.

Amilcar, claſſis præfectus.

συνέλεγε, καὶ δούλους ἐς ἐλευθερίαν συνεκάλει. πυθόμενος δ' ὅτι Καρχηδόνιοι θάνατον αὐτοῦ κατέγνωσαν, ὡς κακῶς ἐστρατηγηκότος, καὶ Ἄννωνα τὸν Βουμίλχαρος εἵλοντο στρατηγεῖν, ἴδιον αὐτοῦ τὸν στρατὸν ἐποίει, καὶ κακούργους προσελάμβανε, καὶ ἐλῄζετο ἐς τὰς ἄλλας τροφάς, καὶ ἐγύμναζεν οὓς εἶχεν ἀμφὶ τρισχιλίους ἱππέας, πεζοὺς δὲ ὀκτακισχιλίους, ὡς ἐν μόνῳ τῷ μάχεσθαι τὰς ἐλπίδας ἔχων. ὁ μὲν δὴ ταῦτα ποιῶν, Ῥωμαίους ἐπὶ πολὺ καὶ Καρχηδονίους ἐπὶ πολὺ ἐλάνθανε. Σκιπίων δ' ἐπῆλθεν αὐτῇ Καρχηδόνι τὸν στρατὸν ὡπλισμένον, καὶ σοβαρῶς ἐς μάχην προεκαλεῖτο, οὐδενὸς ἐξιόντος. Ἀμίλχαρ δὲ ὁ ναύαρχος ναυσὶν ἑκατὸν ἐσπευσμένος ἐς τὸν ναύσταθμον ἀνήγετο τοῦ Σκιπίωνος, ἐλπίσας αὐτόν τε φθάσειν ἐπανιόντα, καὶ τὰς οὔσας ἐκεῖ Ῥωμαίων εἴκοσι τριήρεις ῥᾳδίως ταῖς ἑκατὸν αἱρήσειν. καὶ ὁ Σκιπίων, ἰδὼν αὐτοῦ τὸν ἀπόπλουν, προύπεμπέ τινας ἐς πλοῦν τοῦ λιμένος, ἐμφράξαι στρογγύλοις πλοίοις ἐπ' ἀγκυρῶν ἐκ διαστήματος, ἵνα ὡς διὰ πυλῶν αἱ τριήρεις ἐκθέοιεν ὅτε καιρὸς εἴη· καὶ τὰ πλοῖα τοῖς κέρασι συνδῆσαί τε καὶ ἁρμόσαι πρὸς ἄλληλα, ἵνα ἀντὶ τείχους ᾖ. καταλαβὼν δὲ τοῦτο τὸ ἔργον, ἥπτετο τοῦ πόνου· καὶ βαλλομένων τῶν Καρχηδονίων ἀπό τε τῶν πλοίων καὶ ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ τείχους αἱ νῆες ἐθραύοντο, καὶ καμοῦσαι περὶ ἑσπέραν ἀπέπλεον. ἀπιούσαις τε αὐταῖς αἱ Ῥωμαίων ἐπέκειντο, ἐκθέουσαί τε διὰ τῶν διαστημάτων, καὶ, ὅτε βιάζοιντο, ὑποχωροῦσαι. μίαν

δὲ καὶ

δὲ καὶ ἀνεδήσαντο κενὴν ἀνδρῶν, καὶ πρὸς τὸν Σκιπίωνα ἀνήγαγον. μετὰ δὲ τοῦτο ἐχείμαζον ἄμφω. καὶ Ῥωμαίοις μὲν ἦν ἐκ θαλάσσης ἀγορὰ δαψιλής· Ἰτυκαῖοι δὲ καὶ Καρχηδόνιοι λιμώττοντες ἐλῄστευον τοὺς ἐμπόρους· μέχρι Ῥωμαίων νῆες ἄλλαι πεμφθεῖσαι τῷ Σκιπίωνι ἐφώρμουν τοῖς πολεμίοις, καὶ τὰς λῃστρικὰς ἐκώλυον. οἱ δ' ἔκαμνον ἤδη σφόδρα τῷ λιμῷ.

Τοῦ δ' αὐτοῦ χειμῶνος, ἐγγὺς ὄντος Σύφακος, Μασσανάσσης ᾔτησεν ἐπὶ τῇ ἰδίᾳ στρατιᾷ τὸ τρίτον τῆς Ῥωμαϊκῆς παρὰ Σκιπίωνος· καὶ λαβὼν, ἡγουμένου τῶν Ῥωμαίων Λαιλίου, τὸν Σύφακα ἐδίωξεν. ὁ δὲ ὑπέφευγε, μέχρι καθορώμενος περί τινι ποταμῷ, συνετάσσετο εἰς μάχην. οἱ μὲν οὖν Νομάδες ἑκατέρωθεν, ὥσπερ ἔθος αὐτοῖς, πολλὰ καὶ ἀθρόα ἠφίεσαν ἐπ' ἀλλήλοις. οἱ δὲ Ῥωμαῖοι, προβαλλόμενοι τὰς ἀσπίδας ἐπῄεσαν. Σύφαξ δὲ Μασσανάσσην ἵετο ἐπ' αὐτὸν ὑπὸ ὀργῆς· ὁ δ' ἀντεπέλασε γεγηθώς. καὶ ἀγῶνος πολλοῦ περὶ ἄμφω γινομένου, τραπέντες οἱ τοῦ Σύφακος ἐς φυγὴν, τὸν ποταμὸν ἐπέρων. ἔνθα τις αὐτοῦ τοῦ Σύφακος ἵππον ἔβαλεν· ὁ δ' ἀπεσείσατο τὸν δεσπότην. καὶ ὁ Μασσανάσσης ἐπιδραμὼν εἷλέ τε αὐτὸν Σύφακα, καὶ τὸν ἕτερον αὐτοῦ τῶν υἱῶν· καὶ τούσδε μὲν εὐθὺς ἔπεμπε Σκιπίωνι. ἀπέθανον δ' ἐν τῇ μάχῃ Σύφακος μὲν ἐς μυρίους ἄνδρας, Ῥωμαίων δὲ πέντε καὶ ἑβδομήκοντα· Μασσανάσσου δὲ τριακόσιοι. καὶ αἰχμάλωτοι Σύφακος τετρακισχίλιοι. τούτων ἦσαν Μασσύλιοι δισχίλιοι καὶ πεντακόσιοι, τῶν ἐς

vectoribus vacuam, à puppe religatam ad Scipionem pertraxerunt. Poſt hæc utrinque hyematum eſt, Romanis commeatus per mare convehentibus. Uticenſes verò & Carthaginienſes, fame laborantes, in negotiatores graſſabantur, donec aliæ Romanæ naves ad Scipionem miſſæ per ſtationes hoſtilibus ſunt oppoſitæ, ad arcendas prædatorias: móxque vehementer fame Pœni preſſi ſunt. 14

Eadem hyeme, quum propinquus Syphax eſſet, Maſaniſſa ad ſuas copias tertiam partem Romani exercitus adjungi petiit: quam ubi accepit, adductam à Lælio, unà Syphacem perſecuti ſunt. Ille tamdiu ſubterfugiebat, donec ad fluvium quendam, hoſtibus eum aſſecutis, explicavit aciem. Tum Numidæ utrinque more ſuo multum telorum conjecerunt in ſe invicem: Romani verò ſcutis protecti in pugnam ibant. Syphax viſo Maſaniſſa, iratus, in eum ſe vertit: lætus ille concitavit ſe obviam. Ibi circa utrunque magno conflato certamine, Syphax cum ſuis fugatus trajiciebat fluvium: interim equus ejus à quodam ictus excuſſit dominum: tum Maſaniſſa incurrens & ipſum cepit, & filiorum ejus alterum: quos mox ad Scipionem miſit. Ceciderunt in ea pugna è Syphacis parte ad decem millia: ex Romanis ſeptuaginta quinque: Maſaniſſa trecentos amiſit: captivorum è Syphacis exercitu fuere IIII M. in his erant Maſæſuli D ſupra duo mil-

Syphax equo excuſſus.

Captivus cum altero filiorum ad Scipionem miſſus.

lia qui ad Syphacem à Maſaniſſa transfugerant: hos ille expetiit à Lælio, & acceptos jugulavit. Poſt hæc Maſæſulorum terram & Syphacis ſunt ingreſſi, ad reſtituendum Maſaniſſam in regnum, & ut dedentes ſe in fidem reciperent, detrectantes verò imperium, ſubverterent. Venerunt & à Cirta legati, dedentes Syphacis regiam: privatim quoque ad Maſaniſſam alii, miſſi à Sophonisba Syphacis uxore, excuſaturi coactas nuptias. Hanc Maſaniſſa libenter accepit: revertenſque ad Scipionem, Cirtæ reliquit, nimirum futura proſpiciens. Ille rogavit Syphacem, quis malus genius ei mentem ademerit, ut, qui amicus ſe invitaſſet in Africam, fidem deóſque juratos falleret, Romanóſque præterea, quibus ſpretis ſecutus ſit partes Carthaginienſium paulo antè hoſtium communium. Qui reſpondit, Sophonisba, Aſdrubalis filia, cujus amore in meam perniciem captus ſum. eſt enim amatrix patriæ nimia, & poteſt quemvis flectere ad quidlibet. Ipſa me ex amico veſtro fecit amicum ſuæ patriæ, & ex tanta felicitate conjecit in hanc miſeriam. Te verò moneo (poſtquam enim veſter ſum, & alienus à Sophonisba, vobis favere debeo) cave à muliere, ne Maſaniſſam quocunque vult pelliceat: non enim ſperandum eſt, ut ipſa Romanas partes foveat, tanta ineſt ei charitas pa-

Cirta urbs.

Sophonisba.

15

Σύφακα ἀπὸ Μασανάσσου μεταστάντων. καὶ αὐτοὺς ὁ Μασανάσσης ἐπὶ τῷδε ᾔτησε παρὰ Λαιλίου, καὶ λαβὼν κατέσφαξε. μετὰ δὲ τοῦτο Μασυλίους καὶ τὴν χώραν τὴν Σύφακος ἐπῄεσαν, τὰ μὲν αὖθις ἐς τὴν ἀρχὴν τοῦ Μασανάσσου καθιστάμενοι, τὰ δὲ προσποιούμενοί τε, καὶ τοὺς ἀπειθοῦντας αὐτῶν καταστρεφόμενοι. ἀφίκοντο δ' αὐτοῖς καὶ ἐκ Κίρτης πρέσβεις τὰ βασίλεια τοῦ Σύφακος παραδιδόντες. ἰδίᾳ δὲ πρὸς Μασανάσσην ἕτεροι παρὰ Σοφονίσβας τοῦ Σύφακος γυναικὸς, τὴν ἀνάγκην τοῦ γάμου διηγούμενοι. Σοφονίσβαν μὲν οὖν ἄσμενος εἶχε λαβὼν ὁ Μασανάσσης, καὶ αὐτὴν ἐπανιὼν πρὸς Σκιπίωνα αὐτὸς ἐν Κίρτῃ κατέλιπε, προορώμενος ἄρα τὸ μέλλον. Σκιπίων δὲ ἤρετο Σύφακα, Τίς σε δαίμων ἔβλαψε, φίλον ὄντα μοι, ἐπὶ Λιβύην ἐλθεῖν προτρέψαντα, ψεύσασθαι μὲν θεοὺς οὓς ὤμοσας· ψεύσασθαι δὲ μετὰ τῶν θεῶν Ῥωμαίους, καὶ μετὰ Καρχηδονίων ἀντὶ Ῥωμαίων ἑλέσθαι πολεμεῖν, τῶν ἐπὶ Καρχηδονίους οὐ πρὸ πολλοῦ σοὶ βεβοηθηκότων; Ὁ δ' εἶπε, Σοφονίσβα, Ἀσδρούβα θυγάτηρ, ἧς ἐγὼ ἤρων, ἐπ' ἐμῷ κακῷ. φιλόπατρις δ' ἐστὶν ἰσχυρῶς, καὶ ἱκανὴ ἅπαντα τινὰ πεῖσαι πρὸς ἃ βούλεται· αὐτή με καὶ ἐκ τῆς ὑμετέρας φιλίας ἐς τὴν ἑαυτῆς μετέθηκε πατρίδα, καὶ ἐς τόδε συμφορᾶς ἐκ τοσῆσδε εὐδαιμονίας κατέβαλε. σοὶ δὲ παραινῶ (χρὴ γὰρ, ὑμέτερον γενόμενον, καὶ Σοφονίσβας ἀπηλλαγμένον νῦν γε εἶναι ὑμῖν βέβαιον) φύλασσε Σοφονίσβαν, μὴ Μασανάσσην ἐς ἃ βούλεται μεταγάγῃ· οὐ γὰρ δὴ μὴ τὸ γύναιον ποτὲ ἕληται τὰ Ῥωμαίων, ἐλπίζειν ἄξιον· οὕτως ἐστὶν ἰσχυρῶς φιλόπα-

„ φιλόπολις. ταῦθ' ὁ μὲν ἔλεγεν εἴτ' ἀληθεύων, εἴτε ζηλοτυπούμενος, καὶ Μασσανάσσην ἐς τὰ μέγιστα βλάπτων· ὁ δὲ Σκιπίων Σύφακα μὲν, συνετόν τε φαινόμενον, καὶ τῆς χώρας ἔμπειρον, ἐπὶ τὰ κοινὰ ἐπήγετο, καὶ γνώμης καὶ συμβουλῆς μετεδίδου, οἷόν τι καὶ Κροίσῳ τῷ Λυδῷ Κῦρος ἐχρῆτο. Λαιλίου δ' ἀφικομένου, καὶ ταῦτα περὶ τῆς Σοφονίσβας πυθέσθαι παρὰ πολλῶν λέγοντος, ἐκέλευσε τὸν Μασσανάσσην τὴν Σύφακος γυναῖκα παραδοῦναι. παραιτουμένου δὲ ἐκείνου, καὶ τὰ περὶ αὐτῆς ἄνωθεν ὡς ἐγένετο διηγουμένου, τραχύτερον ὁ Σκιπίων ἐκέλευεν αὐτὸν μηδὲν ἀφαιρεῖσθαι βίᾳ τῶν Ῥωμαϊκῶν λαφύρων, ἀλλ' εἰς τὸ μέσον καταθέντα αἰτεῖν, καὶ πείθειν, εἰ δύναιτο. ᾤχετο οὖν ὁ Μασσανάσσης μετά τινων Ῥωμαίων, παραδώσων αὐτοῖς τὴν Σοφονίσβαν· κρύφα δὲ αὐτῇ φέρων φάρμακον πρῶτος ἐνέτυχε· καὶ τὰ παρόντα προύθηκεν, ἢ πιεῖν, ἢ Ῥωμαίοις δουλεύειν ἑκοῦσαν. οὐδέν τε εἰπὼν ἔτι, ἐξήλασε τὸν ἵππον. ἡ δὲ, τῇ τροφῷ δείξασα τὴν κύλικα, καὶ δεηθεῖσα μηδὲν ὀδύρεσθαι καλῶς ἀποθανοῦσαν, ἔπιε τοῦ φαρμάκου. καὶ αὐτὴν ὁ Μασσανάσσης τοῖς ἥκουσι Ῥωμαίων ἐπιδείξας, καὶ θάψας βασιλικῶς, ὑπέστρεφε πρὸς Σκιπίωνα. ὁ δὲ, αὐτὸν ἐπαινέσας τε, καὶ παρηγορήσας ὅτι πονηρᾶς γυναικὸς ἀπηλλάγη, ἐστεφάνωσε τῆς ἐφόδου τῆς ἐπὶ Σύφακα, καὶ ἐδωρήσατο πολλοῖς. ἀχθέντος δ' ἐς Ῥώμην τοῦ Σύφακος, οἱ μὲν ἠξίουν περισώζειν ἄνδρα, ἐν Ἰβηρίᾳ φίλον καὶ σύμμαχον αὐτοῖς γενόμενον· οἱ δὲ, κολάζειν, ὅτι τοῖς

triæ. Hæc ille, ſive quia vera, ſive per zelotypiam, ut Maſaniſſam valde læderet. Scipio Syphacem prudentem habitum, & regionis peritum, conſiliis adhibebat publicis, audiebatque ſententiam ejus, quemadmodum olim Cyrus Crœſi regis Lydorum. Quumque veniſſet Lælius, eadem ſe de Sophonisba audiſſe referens, Scipio à Maſaniſſa tradi ſibi uxorem Syphacis petiit, quo recuſante, & quæ ſibi dudum cum ea interceſſerant memorante, Scipio durius imperavit ne quid per vim uſurparet è præda populo Romano debita, ſed deponeret in medium, ac tum, ſi videretur, poſceret. Sic ille abiit cum quibuſdam Romanis, traditurus eis Sophonisbam: ſed primus clam eam convenit, venenum afferens, optionémque, utrum bibere mallet, an Romanis ultro ſervire: & hoc tantum dicto, equum concitavit. Illa poſtquam nutrici oſtendit poculum, rogavit ne defleret honeſtè mortuam: móxque venenum ebibit. Ejus corpus Maſaniſſa venientib. Romanis oſtendit, & ſepelivit regali funere, ac mox ad Scipionem rediit, qui laudatum ſolatus eſt quòd amiſiſſet malam mulierem, coronavítque ob felicem expeditionem contra Syphacem & honoravit donis plurimis. Cæterùm, perducto Romam Syphace, quidam cenſebant ſervandum hominem, cujus fideli opera uſi fuerant in Hiſpania; alii, puniendum, quòd contra amicos arma ſumpſiſſet: interim

Scipio Syphacem adhibet conſiliis.

Cyrus. Crœſus.

Sophonisba veneno hauſto moritur.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

Syphacis interitus.

interim ille morbo ex mœſtitia contracto abſumptus eſt.
16
At Aſdrubal, ubi ſuos ſatis exercuit, miſit quendam ad Hannonem, ducem Carthaginienſium, poſtulans ut ſe collegam aſſumeret: ſubmonénſque, multos apud Scipionem eſſe Hiſpanos, per quos auro pollicitíſque corruptos poſſint incendi caſtra illius: promiſitque etiam ſe ad tempus affore, ſi præſtitutum ſibi fuerit. His auditis, Hanno vaframentis agebat contra Aſdrubalem: nec tamen ſpem abjecit de ſucceſſu conſilii, ſed hominem fidum cum auro in Scipionis caſtra miſit, ſpecie transfugæ: qui nemini ſuſpectus, multos ſeductos corrupit. quibus ubi diem præſtituit, ad Hannonem rediit: eam ille ſignificavit Aſdrubali. Scipionem verò ſacrificantem aruſpices monebant cavendum ab incendio. Is per totum exercitum dimiſit qui plus ſatis candentem ignem comprimerent. rurſúmque per aliquod dies inſtaurabat ſacrificia: & quum exta ſemper idem periculum portenderent, moleſtè ferens, mutare caſtra ſtatuit. Tum Rom. equitis ſervus Hiſpanus, ſuſpectos habens fraudis ſocios, ſimulavit ſe conſcium, donec totam rem cognovit, & indicavit domino: qui ad Scipionem eum adduxit, & corruptos coarguit: Scipio capite mulctatos omnes extra caſtra projecit. Id Hanno ex propinquo facilè ſenſit, nec ad præſtitutum venit. Aſdrubal ignarus adfuit: conſpectíſque tot cadaveribus, conji-

Auro corrupti milites nonnulli Scipionis.

Supplicium de corruptis auro militibus.

φίλοις ἐπολέμησεν. ὁ δὲ ὑπὸ λύπης νοσῶν ἀπέθανεν. Ἀσδρούβας δὲ, ἐπειδὴ καλῶς τοὺς συνόντας ἐγύμνασεν, ἔπεμπέ τινα πρὸς Ἄννωνα, τὸν στρατηγὸν τῶν Καρχηδονίων, ἀξιῶν αὐτῷ τὸν Ἄννωνα κοινωνῆσαι τῆς στρατηγίας· καὶ ὑποδεικνὺς ὅτι πολλοὶ Σκιπίωνι σύνεισιν Ἴβηρες, οὓς ἐάν τις χρυσίῳ καὶ ὑποσχέσει διαφθείρῃ, τὸ Σκιπίωνος στρατόπεδον ἐμπρήσουσι. ἔφη δὲ καὶ αὐτὸς, εἰ προμάθοι τὸν καιρὸν, ἥξειν ἐπὶ τὸ ἔργον. ταῦτα μὲν Ἀσδρούβας· ὁ δὲ Ἄννων ἐς μὲν τὸν Ἀσδρούβαν ἐπανούργει. τοῦ δ' ἐγχειρήματος οὐκ ἀπήλπισεν, ἀλλ' ἄνδρα πιστὸν μετὰ χρυσίου, καθάπερ αὐτόμολον, εἰς τὸ Σκιπίωνος στρατόπεδον κατέπεμψεν· ὃς πιθανὸς ὢν ἐντυχεῖν ἑκάστῳ, διέφθειρε πολλούς· ἡμέραν τε συνθέμενος αὐτοῖς ἐπανῆλθε, καὶ τὴν ἡμέραν ὁ Ἄννων τῷ Ἀσδρούβᾳ μετέφερε. Σκιπίωνι δὲ θυομένῳ κίνδυνον τὰ ἱερὰ ἐδήλου ἐμπρησμοῦ· καὶ περιπέμψας εἰς ἅπαν τὸ στρατόπεδον, εἴπου τι λαῦρον εὕρισκε πῦρ, κατέπαυε· καὶ αὖθις ἐπὶ πολλὰς ἡμέρας ἐθύετο. ὡς δ' οὐκ ἀνίει τὰ ἱερὰ τὸν ἐμπρησμὸν ὑποδεικνύοντα, ὁ μὲν ἐβαρυθύμει, καὶ μεταστρατοπεδεῦσαι διεγνώκει. ἱππέως δὲ Ῥωμαίου θεράπων Ἴβηρ, ὑπονοήσας τι περὶ τῶν συνθεμένων, ὑπεκρίνατο συνειδέναι· ἕως τὸ πᾶν ἔμαθε, καὶ ἐμήνυσε τῷ δεσπότῃ. ὁ δὲ αὐτὸν ἐς τὸν Σκιπίωνα ἤγαγε, καὶ τὸ πλῆθος ἠλέγχετο. καὶ πάντας ὁ Σκιπίων ἔκτεινε, καὶ ἐξέρριψε πρὸ τοῦ στρατοπέδου. αἴσθησις δ' ἦν Ἄννωνι μὲν ὀξεῖα πλησίον ὄντι, καὶ οὐκ ἦλθεν ἐπὶ τὸ συγκείμενον. Ἀσδρούβας δὲ ἀγνοῶν ἀφίκετο. ὡς δὲ τὸ πλῆ-

θος

θος εἶδε τῶν νεκρῶν, εἴκασε τὸ συμβὰν, καὶ ἀνεχώρει. καὶ αὐτὸν ὁ Ἄννων ἐς τὸ πλῆθος διέβαλεν, ὡς ἀφίκοιτο Σκιπίωνι διδοὺς ἑαυτὸν, ὁ δὲ οὐ λάβοι. Ἀσδρούβας μὲν δὴ καὶ ἐκ τοῦδε τοῖς Καρχηδονίοις ἦν μᾶλλον διὰ μίσους. ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν Ἀμίλχαρ μὲν ἄφνω ταῖς Ῥωμαίων ναυσὶν ἐπιπλεύσας, μίαν ἔλαβε τριήρη, καὶ φορτίδας ἕξ. Ἄννων δ' ἐπιθέμενος τοῖς πολιορκοῦσιν Ἰτύκην, ἀπεκρούσθη. Σκιπίων δὲ, χρονίου τῆς πολιορκίας οὔσης, ταύτην μὲν διέλυσεν, οὐδὲν ἀνύων, τὰς δὲ μηχανὰς ἐς Ἱππῶνα πόλιν μετετίθει. καὶ οὐδενὸς οὐδ' ἐνταῦθα προκόπτοντος ἑαυτῷ, κατακαύσας ἄχρηστα τὰ μηχανήματα, τὴν χώραν ἐπέτρεχε, τοὺς μὲν εἰς φιλίαν ἐπαγόμενος, τοὺς δὲ ληιζόμενος.

Καρχηδόνιοι δ' ἐπὶ ταῖς κακοπραγίαις δυσφοροῦντες, αἱροῦνται στρατηγὸν αὐτοκράτορα, Ἀννίβαν. τὸν δὲ ναύαρχον ἔπεμπον ἐπὶ νηῶν, ἐπισπέρχειν αὐτὸν ἐπὶ τὴν διάβασιν. ἅμα δὲ ταῦτ' ἔπρασσεν, καὶ ἐς τὸν Σκιπίωνα περὶ εἰρήνης ἐπρεσβεύοντο, ἡγούμενοι τούτοιν πάντως ἑνὸς τυχεῖν, ἢ τὴν εἰρήνην ἕξειν, ἢ χρόνου διατρίψειν, ἕως ἀφίκοιτο ὁ Ἀννίβας. Σκιπίων μὲν οὖν αὐτοῖς ἀνοχάς τε ἔδωκε, καὶ τὴν δαπάνην τοῦ στρατοῦ λαβὼν, πρεσβεύειν ἀφῆκεν ἐς Ῥώμην. οἱ δὲ ἐπρέσβευον, καὶ τειχῶν ἐκτὸς ἐσταθμεύοντο, ὡς ἔτι πολέμιοι. ἀχθέντες τε ἐπὶ τὴν βουλὴν, ἐδέοντο συγγνώμης τυχεῖν. τῶν δὲ συμβουλευόντων οἱ μὲν τῆς Καρχηδονίων ἀπιστίας ὑπεμίμνησκον, ὡς ὁσάκις συνθοῖντο, παραβαῖεν· ὅσα τε Ἀννίβας δράσειε δεινὰ Ῥωμαίους καὶ τοὺς Ῥωμαίων συμμάχους, ἔν τε Ἰβηρίᾳ καὶ Ἰταλίᾳ.

ciens quid accidiſſet, receſſit: eum Hanno apud caſtrenſem multitudinem calumnioſè criminabatur, acceſſiſſe ut Scipioni ſe dederet, & infecta re abiiſſe. Ex eo tempore Aſdrubal in majore apud Carthaginienſes fuit odio. Per eoſdem dies Amilcar naves Amilcar.
Romanas repentè aggreſſus, unam triremem cepit & ſex onerarias: Hanno verò adortus obſeſſores Uticæ, repulſus eſt. Scipio tam longam obſidionem pertæſus diſſolvit, quum nihil proficeret: machinas Hipponem Hippo urbs.
tranſportavit: & quum hic quoque nihil ſuccederet, exuſtis eis ut inutilibus, per agros diſcurrebat, alios perducens in amicitiam, alios depopulans. 17

Carthaginienſes impares tot cladibus, imperatorem eligunt Annibalem, & claſſem ad eum mittunt cum præfecto, qui adventum viri acceleret: nihilominus ad Scipionem legatos de pace ire jubent, ſperantes aut pacem ſe impetraturos, aut effecturos ut Annibal ſatis temporis ad reditum habeat. Legati de pace ad Scipionem miſſi.
Scipio dedit eis inducias, & acceptis alimentis exercitus, permiſit cum S.P.Q.R. per legatos de pace agere. Legatione miſſa, nihilominus ſtationes tanquam hoſtes habebant pro mœnibus. Legati in ſenatum admiſſi orabant veniam: patres, pars memorabant Pœnorum perfidiam, ruptáque toties fœdera, tum Annibalis injurias, populo Romano ſociiſque illatas, vel in Hiſpania vel in Italia: pars pacem

cem

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

cem utiliorem ſibi quàm Pœnis oſtendebant, miſerè vexata tot bellis Italia: non diſſimulando futurum periculum, tot exercitibus & claſſibus confeſtim contra Scipionem coituris, Annibalis ex Italia, Magonis è Liguria, Hannonis Carthagine. Quapropter ſenatus conſilium non expediens, miſit ad Scipionem legatos, ut de communi ſententia conſuleret, agerétque quicquid videretur è re publica. qui pacem cum populo Carthaginienſi fecit, his legibus:

Conditiones pacis.

Magonem cum exercitu dedúcant è Liguria Pœni, nec in poſterum conducant mercenarium militem: naves longas, præter triginta, ne habeant: intra Punicam, quam vocant, foſſam ſe contineant: captivos & perſugas, fugitivóſque reſtituant: argenti mille ſexcenta talenta intra certum tempus in ærarium inferant. Maſaniſſæ quoque cautum eſt, ex eodem fœdere, ut non ſolùm Maſæſulos, ſed quantumcunque de Syphacis ditione occupare potuerit, bono jure haberet. In has leges pacis ubi conventum eſt, legati in urbem navigarunt, ut eas jurejurando ſancirent apud conſules. Romani quoque legati pe-

18 tierunt Carthaginem, ut ſacramentum à Magiſtratibus Carthaginienſium acciperent.

Maſaniſſæ dona à pop. Romano ob egregiam fidem ac operam miſſa.

Maſaniſſa à populo Rom. ob egregiam fidem ac operam donatus eſt aurea corona, & patera aurea, ſella curuli eburnea, toga picta, palmatáque tunica, equo phaleris aureis ornato, & armatura totius corporis.

οἱ δὲ, τὸ τῆς εἰρήνης χρήσιμον τοῖς Καρχηδονίοις μᾶλλον ἢ σφίσιν ὑπεδείκνυον ἔσεσθαι, τῆς Ἰταλίας τοσοῖσδε πολέμοις ἐκτετρυμμένης· τό, τε τοῦ μέλλοντος ἀδεὲς ἐπεξῄεσαν, ἐπιπλευσομένων ἐπὶ τὸν Σκιπίωνα αὐτίκα σὺν μεγάλοις στρατοῖς Ἀννίβου τε ἐξ Ἰταλίας καὶ Μάγωνος ἐκ Λιγύων, καὶ Ἄννωνος ἀπὸ Καρχηδόνος. ἐφ᾽ οἷς ἀπορούσα ἡ βουλὴ συμβούλους ἔπεμψε τῷ Σκιπίωνι, μεθ᾽ ὧν ἔμελλε κρινεῖν τε καὶ πράξειν ὅ, τι δοκιμάσειε συνοίσειν. ὁ δὲ ἐς τὴν εἰρήνην τοῖς Καρχηδονίοις ἐπὶ τοῖσδε συνέβη· Μάγωνα μὲν ἀποπλεῖν ἐκ Λιγύων αὐτίκα, καὶ τοῦ λοιποῦ Καρχηδονίους μὴ ξενολογεῖν, μηδὲ ναῦς ἔχειν μακρὰς πλείους τριάκοντα, μηδὲ πολυπραγμονεῖν τι πέρα ὧν ἔχουσιν ἐντὸς τῶν λεγομένων Φοινικίδων τάφρων· ἀποδοῦναί τε Ῥωμαίοις ὅσους αἰχμαλώτους αὐτῶν ἔχουσι καὶ αὐτομόλους· ἀργυρίου τε αὐτοῖς τάλαντα χίλια καὶ ἑξακόσια ἐσενεγκεῖν ἐν χρόνῳ. ἔχειν δὲ Μασσανάσσην Μασσυλίους τε καὶ τῆς Σύφακος ἀρχῆς ὅσα δύναιτο. τάδε μὲν συνέθεντο ἀλλήλοις, καὶ πρέσβεις διέπλεον οἱ μὲν ἐς Ῥώμην, τοὺς ὑπάτους ὁρκοῦντες, οἱ δ᾽ ἀπὸ Ῥώμης, ἐς Καρχηδόνα· καὶ τὰ τέλη τῶν Καρχηδονίων ὤμνυε. Μασσανάσσῃ δὲ Ῥωμαῖοι χαριστήρια τῆς συμμαχίας, στέφανόν τε ἀπὸ χρυσοῦ, καὶ σφραγῖδα χρυσῆν ἔπεμπον, καὶ ἐλεφάντινον δίφρον, καὶ πορφύραν, καὶ στολὴν Ῥωμαϊκὴν, καὶ ἵππον χρυσοφάλαρον, καὶ πανοπλίαν.

Γιγνο-

Γιγνομένων δ' ἔτι τούτων ὁ Ἀννίβας ἄκων ἐς Καρχηδόνα ἔπλει, τὴν ἐς τοὺς ἄρχοντας ἀπιστίαν τοῦ δήμου καὶ ταχυεργίαν ὑφορώμενος· ἀπιστῶν δ' ἔτι τὰς σπονδὰς ἔσεσθαι, καί, εἰ γένοιντο, εὖ εἰδὼς οὐκ ἐς πολὺ βεβαίους ἐσομένας, ἐς Ἀδρυμητὸν Λιβύης κατήγετο πόλιν, καὶ σῖτον συνέλεγεν, ἐπί τε ὠνὴν ἵππων περιέπεμπε. καὶ τῷ δυνάστῃ τῶν Νομάδων τῶν καλουμένων Ἀρεακιδῶν ἐς φιλίαν ὑπήγετο. καὶ τετρακισχιλίους αὐτομόλους ἱππέας αὐτῷ προσφυγόντας, οἳ Σύφακος ὄντες, τότε ἐγίγνοντο Μασσανάσσου, κατηκόντισεν, ὑποπτεύσας, τοὺς δ' ἵππους διέδωκε τῷ στρατῷ. ἦλθε δὲ καὶ Μεσότυλος αὐτῷ δυνάστης ἕτερος μετὰ χιλίων ἱππέων, καὶ Οὐέρνας Σύφακος υἱὸς ἕτερος, ἐπὶ τῶν πλεόνων τῆς πατρῴας ἀρχῆς ἐπικρατῶν. πόλεις τε Μασσανάσσου τὰς μὲν ὑπήγετο, τὰς δ' ἐβιάζετο· Νάρκην δ' ἐνήδρευσεν ὧδε· ἀγορᾶς χρῄζων, ἐσέπεμπεν ὡς ἐς φίλους. ὅτε δ' ἔδοξεν ἐπιθέσθαι, πλείους ἔπεμπε ξιφίδια ἐπικρύπτοντας, οἷς εἴρητο, τὰ δίκαια ποιεῖν ἐς τοὺς πιπράσκοντας, μέχρι σαλπίγγων ἀκούσειαν, τότε δ' ἐπιχειρεῖν τοῖς ἐντυχοῦσι, καὶ τὰς πύλας οἱ φυλάσσειν. οὕτω μὲν ἑάλω Νάρκη. Καρχηδονίων δὲ ὁ δῆμος, ἄρτι τὰς συνθήκας πεποιημένοι, καὶ Σκιπίωνος ἔτι παρόντος, οὔπω τῶν ἰδίων πρέσβεων ἀπὸ Ῥώμης ἀνεστρεφότων, ἀγορὰν Σκιπίωνος ὑπ' ἀνέμων κατενεχθεῖσαν ἐς Καρχηδόνα, διήρπασαν. καὶ τοὺς παραπέμποντας αὐτὴν ἔδησαν, πολλὰ τῆς βουλῆς ἀπειλούσης, καὶ παραινούσης μὴ λύειν συνθήκας ἄρτι γεγενημένας. οἱ δὲ καὶ

Interea Annibal invitus navigavit Carthaginem, ſuſpectam habens populi ſui lubricam fidem erga principes, præcipitiáque ejus conſilia: & quia fœdus ictum vix credebat, vel, ſi eſſet ictum, non fore firmum ſciebat, Adrumetum appulit: miſitque qui frumentum comportarent, & equos coemerent. Cum Arecacidarum Numidicæ gentis regulo ſocietatem iniit: quatuor millia equitum, qui quondam Syphacis fuerant, tunc à Maſaniſſa ad eum transfugerant, ut ſuſpectos objecit configendos jaculatoribus, equos diviſit ſuis militibus. Meſetulus quoque, alius regulus, acceſſit ad eum cum mille equitibus: & Vermina, Syphacis alter filius, majorem paterni regni partem obtinens. Urbes etiam Maſaniſſæ, partim deditione, partim vi recipiebat: Narcem autem per inſidias hoc modo: quum opus haberet commeatu, miſit tamquam ad amicos, & quum viſum eſt inſidiarum tempus, plures intromiſit accinctos occultis pugionibus, cum mandato ut neminem venditorem fraudarent, donec tubæ ſignum audirent: tum verò ſternerent obvios, & portas occupatas ſibi ſervarent. ita Narce capta eſt. At populus Carthaginienſis, nuper icto fœdere, præſente adhuc Scipione, nondum legatis ab urbe reverſis, commeatus Scipioni vento Carthaginem delatos diripuit, & nautas conjecit in vincula, ſenatu ſuo multa interminante, &

Adrumetum.

Arecacidæ.

Meſetulus.

Vermina, Syphacis filius,

Narce urbs.

Narce capta.

Populus Carthaginienſis fœdus ſolvit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

te, & monente ne violarentur recens icta fœdera: illi fœdus ut iniquum incuſabant, dicentes, à fame plus eſſe periculi quàm à violato fœdere. Scipio ſemel data pace noluit denuo bellum incipere, tantum poſtulavit in judicium tanquam amicos diſcedentes ab officio. at illi etiam legatos Romanos cuſtodire volebant, donec ſui ex urbe reverterentur.
19 ſed hos Hanno Magnus & Aſdrubal Hœdus ereptos è turba dimiſerunt, deducentibus duabus triremibus. Alii Aſdrubali præfecto claſſis ad Apollinis promontorium ſtanti ſuaſerunt, ut quamprimum triremes deductrices diſcederent, Scipionem adoriretur; & fecit. In eo conflictu unus atque alter legatorum ſauciati telis perierunt: reliqui inter miſſilia volitantia, ægrè ad portum in quo caſtra habebant evaſerunt, & è navi ab hoſtibus jamjam occupanda exiliverunt: tantillum abfuit quin captivi fierent. Quæ poſtquam in Urbe ſunt cognita, legatos Carthaginienſium ob pacem miſſos, qui nondum abierant, ſenatus ut hoſtes abnavigare juſſit continuo. Illi revertentes, tempeſtate in caſtra Scipionis depulſi ſunt, qui præfecto claſſis roganti quid eis facere deberet: Nihil tale, inquit, quale Carthaginienſes: dimiſitque intactos. Id ubi ſeniores (quod ſanctius eſt conſilium) audierunt, conferendo injuriam & beneficium, exprobrabant temeritatem plebi, conſulebántque, vel nunc pacta ſervarent, & peterent à Scipione veniam erroris, mulctámque ultro ſolverent.

Apollinis promontorium.

Legati Romanorum cæſi.

Scipio fidem ſervat.

ταῖς συνθήκαις ἐπεμέμφοντο ὡς ἀδίκως γενομέναις, καὶ τὸν λιμὸν ἔφασαν ἐνοχλεῖν ὑπὲρ τὰς παραβάσεις. Σκιπίων μὲν οὖν οὐκ ἠξίου πολέμου κατάρχειν μετὰ σπονδάς, ἀλλ᾽ ᾔτει δίκας ὡς φίλους ἁμαρτόντας. οἱ δὲ καὶ τοὺς πρέσβεις αὐτοῦ κρατεῖν ἐπενόουν, ἕως ἀφίκοιντο αὐτοῖς οἱ ἀπὸ Ῥώμης. ἀλλὰ τούσδε μὲν Ἄννων τε ὁ Μέγας καὶ Ἀσδρούβας ὁ Ἔριφος ἐξείλοντο τοῦ πλήθους, καὶ προὔπεμπον δύο τριήρεσιν. ἕτεροι δὲ Ἀσδρούβαν τὸν ναύαρχον ἔπεισαν, ὁρμοῦντα περὶ τὴν Ἀπόλλωνος ἄκραν, ὅταν ἀποστῶσιν αἱ προπομποὶ τριήρεις, ἐπιθέσθαι ταῖς τοῦ Σκιπίωνος. καὶ ὁ μὲν ἐπέθετο· καὶ τῶν πρέσβεων τινὲς ἐκ τοξευμάτων ἀπέθανον· οἱ δὲ λοιποί, τιτρωσκόμενοί τε ἔφθασαν ἐς τὸν λιμένα τοῦ σφετέρου στρατοπέδου, καὶ ἐξήλαντο τῆς νεὼς ἤδη λαμβανομένης. παρὰ τοσοῦτον ἦλθον αἰχμάλωτοι γενέσθαι. ὧν οἱ ἐν ἄστει Ῥωμαῖοι πυθόμενοι, τοὺς πρέσβεις τῶν Καρχηδονίων, οἱ περὶ τῆς εἰρήνης ἔτι παρῆσαν, ἐκέλευον ἀποπλεῖν αὐτίκα, ὡς πολεμίους. καὶ οἱ μὲν ἐξέπλεον, καὶ ὑπὸ τοῦ χειμῶνος ἐς τὸ τοῦ Σκιπίωνος στρατόπεδον κατήγοντο. Σκιπίων δὲ τῷ ναυάρχῳ, πυθομένῳ περὶ αὐτῶν ὅ,τι δέοι ποιεῖν, οὐδὲν ὅμοιον, ἔφη, τοῖς Καρχηδονίοις, ἀλλ᾽ ἀπέπεμπεν ἀπαθεῖς. μαθοῦσα δὲ ἡ γερουσία, τὸν δῆμον ὠνείδιζε τῇ συγκρίσει, καὶ συνεβούλευε καὶ νῦν δεηθῆναι Σκιπίωνος, τὰ μὲν συγκείμενα φυλάσσειν, δίκας δὲ τῶν ἡμαρτημένων παρὰ Καρχηδονίων λα-

βεῖν.

ξεῖν. οἱ δὲ, καὶ αὐτῇ τῇ γερουσίᾳ δυσχεραίνοντες, ἐκ πολλοῦ, διὰ τὴν κακοπραγίαν ὡς οὐκ εὖ τὰ συμφέροντα προεστωμένη, καὶ ὑπὸ ἀνδρῶν δημοκόπων ἐρεθιζόμενοί τε καὶ ἐς ἀλόγους ἐλπίδας ἐπαιρόμενοι, τὸν Ἀννίβαν ἐκάλουν μεθ' ἧς εἶχε στρατιᾶς. ὁ δὲ, ὁρῶν τὸ μέγεθος τοῦ πολέμου, Ἀσδρούβαν αὐτοὺς ἐκέλευε σὺν τῇ παρούσῃ δυνάμει καλεῖν. Ἀσδρούβας μὲν δὴ, τῆς καταδίκης αὐτῷ λυθείσης, παρεδίδου τὸν στρατὸν Ἀννίβᾳ, καὶ οὐδ' ὡς ἐπιφαίνεσθαι τοῖς Καρχηδονίοις ἐθάρρει, ἀλλ' ἐκρύπτετο ἐν τῇ πόλει. Σκιπίων δὲ ναῦς τῇ Καρχηδόνι ἐπιστήσας, εἶργεν αὐτοὺς ἀγορᾶς ἀπὸ θαλάσσης, οὐκ εὐποροῦντας οὐδ' ἀπὸ τῆς γῆς, ἀσπόρου διὰ τὸν πόλεμον γενομένης. τῶν δ' αὐτῶν ἡμερῶν Ἀννίβου καὶ Σκιπίωνος ἱππομαχία γίνεται περὶ Ζάμαν, ἐν ᾗ Σκιπίων ἐπλεονέκτει· καὶ ταῖς ἐπιούσαις ἀκροβολίσματα ἦν ἐς ἀλλήλους· ἕως αἰσθόμενος ὁ Σκιπίων Ἀννίβαν ἰσχυρῶς τε ἀπορούμενον, καὶ περιμένοντα ἀγορὰν φερομένην, νυκτὸς ἔπεμψε Θέρμον χιλίαρχον ἐπὶ τοὺς ἄγοντας αὐτήν, καὶ λόφον ὁ Θέρμος ἐν στενῇ διόδῳ καταλαβὼν, ἔκτεινε τῶν Λιβύων ἐς τετρακισχιλίους, καὶ ἐζώγρησεν ἑτέρους τοσούσδε· καὶ τὴν ἀγορὰν ἧκε φέρων τῷ Σκιπίωνι.

Ὁ δ' Ἀννίβας, ἐς ἔσχατον ἀφιγμένος ἀπορίας, καὶ τὸ παρὸν ἐπινοῶν ὅπως δύναιτο διαθέσθαι, πρέσβεις ἐς Μασσανάσσην ἔπεμπεν, ὑπομιμνήσκων τε τῆς ἐν Καρχηδόνι διατριβῆς καὶ παιδεύσεως, καὶ παρακαλῶν ἔτι οἱ συναγαγεῖν ἐς συνθήκας Σκιπίωνα. τὰ γὰρ πρότερα,

Qui jamdudum ſenioribus infenſi ob belli calamitates, quaſi parum prudenter ab illis adminiſtratum eſſet, exagitatíque turbulentis concionibus, vanam ſpem conceperunt, acciverúntque Annibalem cum ſuo exercitu. Ille, conſiderans belli magnitudinem, autor fuit eis vocandi Aſdrubalem cum copiis quas habebat. ita Aſdrubal abſolutus exercitum Annibali tradidit: attamen ne tum quidem auſus eſt venire in conſpectum civium, ſed clam egit in patria. At Scipio, claſſe ad Carthaginem admota, excludebat commeatus maritimos, ne terra quidem ſuppeditante, propter intermiſſam agriculturam belli tempore. Per eoſdem dies Annibalis Scipioníſque equitatus ad Zamam conflixe- Zama.
runt, Romanis ſuperantibus. Secutæ deinde per aliquot dies velitationes mutuæ: donec Scipio edoctus Annibalem vehementer laborare annonæ inopia, & frumentatores venturos expectare, noctu contra eos miſit Ther- Thermus.
mum tribunum: qui occupato tumulo circa anguſtum tranſitum, occidit Afrorum quatuor millia, & vivos cepit totidem: commeatus verò ad Scipionem detulit.

Tum Annibal ad extremam Annibal agit de pace.
redactus inopiam, & cogitans quomodo poſſet ad preſens res diſponere, legationem ad Maſaniſſam miſit, admonens educationis & vitæ actæ Carthagine, rogánſque daret operam ut pax inter ſe ac Scipionem fieret:

quic-

quicquid enim peccatum ſit, id plebi eſſe imputandum, & quibuſdam plebe ſtultioribus. Ille memor ſe educatum & eruditum in ea urbe, cujus majeſtatem reverebatur, & ubi multos adhuc privatim amicos habebat, deprecatus eſt apud Scipionem: effecitque ut renovaretur fœdus his legibus ut pop. Carthaginienſis naves viroſque quos cum commeatu ceperat, pop. Romano redderet, & quicquid rapuerat, reſtitueret: aut pretium juxta Scipionis æſtimationem, & mulctæ nomine mille talenta ſolveret. Hæ leges ubi placuere, induciæ factæ ſunt, donec nuntiarentur Carthaginem: ſic Annibal ex inſperato ſervatus eſt. Senatus autem Carthaginienſis valde probavit id fœdus, rogabátque plebem ut aſſenſum præberet, continuas calamitates enarrans, & quanta ſit præſens inopia tam pecuniarum, quàm militum & commeatuum: quæ, ut ſolet vulgus ſtolidum, putabat ſuos duces privatis ſuis commmodis hac pace conſulere, ut freti Romanorum amicitia potentes fierent in patria: ídque & Annibalem nunc agere, & prius egiſſe Aſdrubalem: qui noctu prodito exercitu hoſtibus, paulo pòſt voluerit & ſeipſum Scipioni dedere, & in hoc ad caſtra ejus acceſſerit, nunc verò in urbe lateat. Ad hos rumores tumultu excitato cum clamoribus quidam relicta concione, obeuntes urbem, quærebant
Aſdrubalis infelix exitus. Aſdrubalem: qui paulo antè in patris ſepulchrum veneno prius

τοῦ δήμου καὶ τῶν ἀνοητοτέρων τοῦ δήμου ἁμαρτήματα γίνεσθαι. ὁ δὲ, τῷ ὄντι τεθραμμένος τε καὶ πεπαιδευμένος ἐν Καρχηδόνι, καὶ τὸ ἀξίωμα τῆς πόλεως αἰδούμενός τε, καὶ φίλος ὢν ἔτι πολλοῖς ἐκεῖθεν, ἐδεήθη τοῦ Σκιπίωνος, καὶ συνήγαγεν αὐτοὺς αὖθις ἐς τοιάσδε συνθήκας, ὥστε Καρχηδονίους τάς τε ναῦς καὶ τοὺς ἄνδρας οὓς ἔλαβον Ῥωμαίοις ἀγορὰν φερούσας, ἀποδοῦναι, καὶ τὰ ἡρπασμένα ἅπαντα, ἢ τῶν ἀπολωλότων τιμὴν, ἣν ἂν ὁρίσῃ Σκιπίων, ποινήν τε τοῦ ἀδικήματος, χίλια τάλαντα εἰσενεγκεῖν. τάδε μὲν ἦν τὰ συγκείμενα. καὶ γενομένων ἀνοχῶν, μέχρις αὐτὰ μάθωσι Καρχηδόνιοι, ὁ μὲν Ἀννίβας ἐξ ἀέλπτου περιεσώζετο· Καρχηδονίων δ' ἡ μὲν βουλὴ τὰ συμβάντα ὑπερησπάζετο, καὶ παρεκάλει τὸν δῆμον ἐμμεῖναι τοῖς ἐγνωσμένοις, τήν τε κακοπραγίαν σφῶν τὴν ἐς ἅπαντα διηγουμένη, καὶ τὴν παροῦσαν ἀπορίαν στρατοῦ τε καὶ χρημάτων καὶ ἀγορᾶς. οἱ δὲ, οἷον ὄχλος, ἀφρόνως ἡγοῦντο τοὺς στρατηγοὺς σφῶν δι' ἑαυτοὺς ταῦτα Ῥωμαίοις συντίθεσθαι, ἵνα δι' ἐκείνων δυναστεύωσι τῆς πατρίδος· ὃ καὶ Ἀννίβαν νῦν καὶ Ἀσδρούβαν οὐ πρὸ πολλοῦ ποιῆσαί τε, καὶ τὸ στρατόπεδον νυκτὸς ἐγχειρίσαντος τοῖς πολεμίοις, μετ' ὀλίγον καὶ ἑαυτὸν ἐθελῆσαι τῷ Σκιπίωνι ἐκδοῦναι, ἐπὶ τῷδε προσπελάσαντα· κρύπτεσθαί τε νῦν ἐν τῇ πόλει. βοῆς τε ἐπὶ τούτῳ καὶ θορύβου γιγνομένου, τὴν ἐκκλησίαν τινὲς καταλιπόντες, ἐζήτουν Ἀσδρούβαν περιιόντες. ὁ δ' ἔφθασε μὲν ἐς τὸν τοῦ πατρὸς τάφον

κατα-

καταφυγὼν, καὶ φαρμάκῳ διαχρησάμενος αὐτόν. οἱ δέ, κἀκεῖθεν αὐτοῦ τὸν νέκυν ἐξελόντες, καὶ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμόντες, περιέφερον ἐπὶ δόρατος ἀνὰ τὴν πόλιν. Ἀσδρούβας μὲν δὴ καὶ τὸ πρῶτον ἀδίκως ἐξεπεπτώκει· καὶ τὸ δεύτερον ψευδῶς διεβέβλητο ὑπὸ Ἄννωνος, καὶ τότε πρὸς Καρχηδονίων οὕτως ἀνῄρητο, καὶ οὕτως ἀποθανὼν ὑβρίζετο. Καρχηδόνιοι δὲ ἐπέστελλον Ἀννίβᾳ λῦσαι τὰς ἀνοχάς, καὶ πολεμεῖν Σκιπίωνι· κελεῦσαι δ' ὅτι τάχιστα τὸν πόλεμον μάχῃ, διὰ τὴν ἀπορίαν. ὁ μὲν δή, πέμψας ἔλυσε τὰς ἀνοχάς· καὶ Σκιπίων Πάρθον τε, μεγάλην πόλιν, αὐτίκα προσπεσὼν εἷλε, καὶ πλησίον Ἀννίβου μετεστρατοπέδευσεν. ὁ δὲ ἀνεζεύγνυε, τρεῖς τοῖς Ῥωμαίοις κατασκόπους ἐπιπέμψας, οὓς ὁ Σκιπίων ἔλαβέ τε, καὶ οὐκ ἔκτανεν (ὥσπερ ἔθος τοὺς κατασκόπους κτείνειν) ἀλλ' ἐς τὸ στρατόπεδον καὶ τὰς ὁπλοθήκας καὶ τὰ μηχανήματα περιαχθῆναι κελεύσας, καὶ τὴν στρατιὰν γυμναζομένην ἰδεῖν, ἀπέλυσε φράζειν Ἀννίβᾳ περὶ ἑκάστων. ὁ δὲ ἠξίωσεν ἔτι συνελθεῖν ἐς λόγους Σκιπίωνι· καὶ συνελθὼν ἔλεγε Καρχηδονίους ἀγανακτῆσαι τῇ προτέρᾳ εἰρήνῃ, διὰ τὰ χρήματα· καὶ εἰ τοῦτο ἐκλυθείη, Σικελίας δὲ μόνον ἀξιοῖεν οἱ Ῥωμαῖοι, καὶ Ἰβηρίας, καὶ νήσων ὅσων ἄρχουσι, κρατεῖν, ἔσεσθαι τὰς συνθήκας βεβαίους. ὁ δέ, πολὺ (ἔφη) κέρδος Ἀννίβᾳ τῆς φυγῆς ἔσται τῆς ἐξ Ἰταλίας, εἰ ταῦτα προσλάβοι παρὰ Σκιπίωνος. καὶ ἀπηγόρευε πέμπειν ἔτι πρὸς αὐτόν· διαπειλησάμενοί τε ἀλλήλοις, ἀνεζεύγνυον ἑκάτερος ἐς τὸ αὐτοῦ στρατόπεδον·

Contumelia in defunctum.

21

epoto ſe abdiderat: illi autem defuncti inde protracti caput amputatum, ac haſtæ præfixum circumferebant per urbem. Sic Aſdrubal primùm exulavit immeritò: deinde falsò ab Hannone delatus, & tunc à civibus ad mortem adactus, etiam defunctus contumeliis affectus eſt. Qui mox mandarunt Annibali, ut ſolutis induciis bellum inferret Scipioni, & quamprimum fieri poſſet, armis de ſumma rerum decerneret, propter inopiam. Poſt ſolutas inducias Scipio Parthum, magnam urbem, cepit primo impetu: móxque caſtra admovit caſtris Annibalis. Ille ſua caſtra movit, ter miſſis in Romana exploratoribus: quos comprehenſos Scipio, præter caſtrenſem morem, non interfecit: ſed juſſos circumire, ut armamentaria, machináſq; & decurrentem exercitum inſpicerent, dimiſit incolumes ad Annibalem, ut eum edocerent de ſingulis. Ille poſtulavit colloquium. quo impetrato, ajebat populum Carthaginienſem moleſtè ferre fœdus, propter imperatam tantam pecuniam: quæ ſi remittatur, & pop. Rom. contentus ſit Sicilia, Hiſpania & occupatis inſulis, pacem firmam ac ratam fore. Reſpondit alter, Annibalem habiturum ingens Italiæ fugâ relictæ pretium, ſi hoc abs ſe impetraverit: interdixítque ne amplius nuntios ad ſe mitteret. Ita poſt mutuas minas quiſque in ſua caſtra digreſſi ſunt. Erat propè oppidum

Parthus urbs à Scipione capta.

22

Scipio præter caſtrenſem morem exploratores non interficit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

Cilla oppidum. pidum Cilla, & juxtà tumulus caſtris idoneus: quem Annibal occupare volens, præmiſit qui caſtra metarentur: móxque cum toto exercitu eum petiit. Eum quum à Scipione occupatum inveniſſet, excluſus inde pernoctavit in medio campo arido, fodiendis puteis occupatus. Exercitus arenam egerens, paululum aquæ turbidæ, magno labore quæſitum, bibebat, abſque cibo, aliáve cura corporis: pars etiam in armis pernox perſtitit. Id ubi ſenſit Scipio, manè aggreſſus eſt feſſos itinere, ſiti, vigiliis.

Annibal ægrè tulit, alieno tempore ſe cogi ad prælium: conſi-
22 derans, ſive maneat, laboraturum ſe aquæ inopia, ſive fugiat, additurum hoſti animos, poſtremum agmen infeſtaturo: unde neceſſe fuit armis experiri. Móxque in aciem produxit armatorum fermè L. M. & elephantos LXXX. hos ante aciem per intervalla terroris cauſa conſtituit: poſt eos verò tertiam exercitus partem, quæ ex Gallis conſtabat ac Liguribus, intermixtis paſſim
Mauri & Baleares. ſagittariis & funditoribus Mauris & Balearibus. Hos ſequebatur alter ordo, in quo Pœni Afríque. Tertii deinceps erant Itali, ſecuti ejus auſpicia: quibus, ut vinci magis timentibus, fidebat plurimùm. equitatus in utroque cornu conſtitit. talis fuit Annibalis acies. Scipio habebat circiter XXIII. M. peditum, equites Italos & Rom. M. D. auxiliares

πόλις δ' ἐγγὺς ἦν Κίλλα, καὶ παρ' αὐτὴν λόφος ἀφυὴς ἐς στρατοπεδείαν· ὃν ἐπινοῶν ὁ Ἀννίβας προλαβεῖν, ἔπεμπε τινὰς διαγράφειν τὸ στρατόπεδον· καὶ εὐθὺς ἀναστήσας ἐβάδιζεν ὡς ἕξων τὸν λόφον. Σκιπίωνος δ' αὐτὸν φθάσαντός τε καὶ προλαβόντος, ἀποληφθεὶς ἐν πεδίῳ μέσῳ καὶ ἀνύδρῳ, διετέλει τὴν νύκτα πᾶσαν ὀρύσσων φρέατα. καὶ στρατὸς αὐτοῦ διαμώμενος τὴν ψάμμον, ὀλίγον καὶ θολερὸν ἔπινον ἐπιμόχθως, ἀθεράπευτοί τε καὶ ἄσιτοι· καὶ ἐν τοῖς ὅπλοις ἔνιοι διενυκτέρευσαν. ὧν ὁ Σκιπίων αἰσθανόμενος προσέβαλεν ἅμα ἕῳ κεκμηκόσιν ἐξ ὁδοῦ καὶ ἀγρυπνίας καὶ ἀνυδρίας.

Ἀννίβας δ' ἤχθετο μὲν οὐχ ὅπῃ βούλοιτο συνιὼν ἐς μάχην, ἑώρα τε ὡς εἴτε μένοι κατὰ χώραν, κακοπαθήσων ὑπὸ τῆς ἀνυδρίας· εἴτε φύγοι, τὰ φρονήματα τῶν ἐχθρῶν ἀναστήσων, καὶ πολλὰ πεισόμενος ὑπ' αὐτῶν ἐπικειμένων. ὅθεν ἀναγκαῖον ἦν αὐτῷ μάχεσθαι· καὶ παρέτασσεν αὐτίκα ἄνδρας μὲν ἐς πεντακισμυρίους, ἐλέφαντας δὲ ὀγδοήκοντα· ἵστησι δὲ πρώτους μὲν τοὺς ἐλέφαντας ἐκ διαστημάτων ἐφ' ὅλου τοῦ μετώπου, φοβερώτατα κατασκευάσας· καὶ ὑπ' αὐτοῖς ἦν τὸ τρίτον τῆς στρατιᾶς, Κελτοὶ καὶ Λίγυες· τοξόται τε αὐτοῖς ἀναμεμίχατο πάντῃ, καὶ σφενδονῆται Μαυρούσιοι καὶ Γυμνήσιοι. τούτων δ' ὄπισθεν ἡ δευτέρα τάξις ἦν, Καρχηδόνιοί τε καὶ Λίβυες. τρίτοι δ' ὅσοι ἐξ Ἰταλίας εἵποντο αὐτῷ, οἷς δὴ καὶ μάλιστα (ὡς πλέον δεδιόσιν) ἐθάρρει. ἡ δ' ἵππος περὶ τὰ κέρατα ἦν. οὕτω μὲν Ἀννίβας ἐξέταξε. Σκιπίωνι δ' ἦσαν ἀμφὶ τοὺς δισμυρίους καὶ τρισχιλίους. ἱππεῖς δ' Ἰταλῶν καὶ Ῥω-

μαίων

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

ρίων χίλιοι καὶ πεντακόσιοι. συνε-
άχει δὲ Μασανάσσης ἱππεῦσι Νο-
άσι πολλοῖς, καὶ Δακάμας ἕτε-
ρος δυνάστης ἱππεῦσιν ἑξακοσίοις.
ὶ μὲν οὖν πεζὸν ἐς τρεῖς καὶ ὅδε
άξεις ἐπέταττεν ὁμοίως Ἀννίβᾳ. λό-
ους δ' ὀρθίους ἐποιεῖτο πάντας,
α δι' αὐτῶν οἱ ἱππεῖς εὐχερῶς
διαθέοιεν. ἐφίστη δ' ἑκάστῳ λόχῳ
προμάχους κατὰ μέτωπον, οἳ ξύλα
αχέα διπήχεα μάλιστα πυκνά, καὶ
ὰ πολλὰ αὐτῶν σεσιδηρωμένα, ἔ-
μελλον ὡς καταπέλτας ἐκ χειρὸς ἐς
ὺς ἐλέφαντας ἐπιόντας ἀφήσειν.
παρήγγελτο δ' αὐτοῖς τε καὶ τοῖς ἄλ-
οις πεζοῖς ἐκκλίνειν τὴν ὁρμὴν τῶν
θηρίων, καὶ περιθέοντας ἀκοντίζειν
αὐτὰ συνεχῶς, καὶ προσπελάζον-
ας, ὅτε δύναιντο, ὑποτέμνειν τὰ
νεῦρα. οὕτω μὲν οἱ διετετάχατο τῷ
Σκιπίωνι· τοὺς δ' ἱππέας, τοὺς μὲν
Νομαδικοὺς, ἐπέστησε τοῖς κέρασιν,
θισμένους τὴν τῶν ἐλεφάντων ὄψιν
ὀδμὴν φέρειν, τοὺς δὲ Ἰταλικοὺς,
διὰ τὸ ἄηθες, ὀπίσω πάντων, ἑ-
τοίμους ἐπελθεῖν διὰ τῶν διαστη-
μάτων, ὅτε τὴν πρώτην τῶν ἐλε-
φάντων ὁρμὴν ὑπομείνειαν οἱ πε-
ζοί. παρ' ἕκαστον δὲ τῶν ἱππέων τῶν-
δε ὑπηρέτης ἦν πολλὰ ἀκόντια φέ-
ρων, οἷς ἐπενόει τὰ θηρία ἀμύνε-
σθαι. οὕτω μὲν αὐτῷ καὶ ἡ ἵππος
εἶχε. παρεδίδου δὲ τὸ μὲν δεξιὸν
Λαιλίῳ, τὸ δὲ λαιὸν Ὀκταουΐῳ· ἐν
τοῖς μέσοις ἵστην αὐτός τε καὶ Ἀν-
νίβας, κατὰ δόξαν ἀλλήλων ἔχοντες
ἀμφ' αὐτοὺς ἱππέας ἐπικουρεῖν,
ὅπῃ τι πονούμενον ἴδοιεν· ὁ μὲν Ἀν-
νίβας, τετρακισχιλίους· ὁ δὲ Σκι-
πίων, δισχιλίους, καὶ τοὺς τετρακο-
σίους Ἰταλοὺς, οὓς αὐτὸς ὥπλισεν ἐν
Σικελίᾳ.

erant Maſaniſſa cum multis equitibus Numidis, & alter regulus Lacumaces cum DC equitibus. Aciem æquè ut Annibal triſariam diſtinxit, in haſtatos, principes, & triarios. cohortes aliquantum inter ſe diſtantes inſtruxit, ut per eas diſcurſus pateret equitibus. In fronte ſtatuit qui craſſis ſudibus bicubitalibus, pleriſque ferratis, elephantos ingruentes cominus feriendo tanquam tormento repercuterent. His ceteriſque peditibus mandatum eſt, ut impetum belluarum in dextram lævámque refugerent, & ipſas ancipitibus telis continenter peterent, aut propius accurrendo, quoties poſſent, nervos earum ſucciderent. Sic inſtructis peditibus, equitatum Numidarum in utroque cornu locavit, aſſuetum ferre odorem & aſpectum elephantorum. Italico verò non aſſueto talibus, poſtremam aciem clauſit, parato ad excurrendum inter ordines, quamprimum pedites elephantorum impetum retunderent. ſinguli autem horum adjunctum habebant velitem, armatum multis telis quibus arceret belluas. atque ita equites quoque inſtructi ſunt. Dextro Lælius, Octavius lævo præfuit: mediam aciem utrinque imperatores ipſi tuebantur, ſimúlque exiſtimationem mutuam, ſtipati equitibus, ut ubi- 23
cunque laborantibus ſuccurrerent. Habebat autem Annibal circa ſe eorum quatuor millia: Scipio verò duo millia, & inſu-
er trecentos illos Italos, quos ipſe armaverat in Sicilia.

Lacumaces regulus.

Inſtructis aciebus uterque obequitabat exhortans ſuos: Scipio, deos invocans coram omnibus, quos fœderum teſtes Pœni violaverint toties quoties à pactis diſceſſerint: & milites jubens non tam multitudinem hoſtium conſiderare, quàm virtutem propriam, qua & antè hoſtes eoſdem in eadem terra viciſſent: quòd ſi & victoribus de futuro ſolicitudo ſit, apud victos majorem eſſe procul dubio. Ita Scipio ſuos accendebat, paucitatem eorum conſolans. Contrà Annibal rerum in Italia geſtarum ſuos admonebat victoriarúmque illuſtrium, non de Numidis partarum, ſed de univerſa Italia: & eveſtigio paucitatem hoſtium oſtendebat, exhortans ne plures paucioribus, & indigenæ cederent exteris. Periculum quoque præſentis certaminis, & magnitudinem, uterque apud ſuos exaggerabat: Annibal, aſſeverans agi de Carthagine totáque Africa, ſerviturâne an imperatura ſit in poſterum: è diverſo Scipio, victis non eſſe quò ſe in tutum recipiant, victores ſecuturam magnam acceſſionem imperii, ſimúlque præſentium laborum requiem, deſideratum in patriam reditum, ſempiternamque gloriam. Poſt has exhortationes tubæ à Pœnis primùm, mox & à Romanis cecinerunt. In congreſſu verò primi elephanti ornatu

Scipionis cum Annibale conflictus.

Ἐπεὶ δὲ ἕτοιμα ἦν αὐτοῖς, ἐπέτρεχε τοὺς ἰδίους ἐπιπαρέρχων ἑκάτερος· ὁ μὲν Σκιπίων, τοὺς θεοὺς κατακαλῶν ἐν ὄψει τῶν στρατευομένων, ἐς οὓς οἱ Καρχηδόνιοι παρεσπονδήκεσαν, ὁσάκις ἔλυον τὰ συγκείμενα· καὶ τὴν στρατιὰν ἀξιῶν μὴ ἐς τὸ πλῆθος τῶν πολεμίων ἀφορᾶν, ἀλλ' ἐς τὴν ἀρετὴν αὐτῶν, ᾗ καὶ πρότερον, τῶνδε τῶν ἐχθρῶν πλειόνων ὄντων, ἐπεκράτησαν ἐν τῇδε τῇ γῇ. εἰ δ' ἔστι καὶ τοῖς νικήσασιν ἐπὶ τῷ μέλλοντι φόβος, ἡ ἀμφιβολία, πόσῳ ταῦτα τοῖς νενικημένοις πλεονάζειν ἀνάγκη; οὕτω μὲν ὁ Σκιπίων ἠρέθιζέ τε καὶ παρηγόρει τὴν ὀλιγότητα. ὁ δ' Ἀννίβας τῶν τε ἐν Ἰταλίᾳ γεγονότων ἔργων ὑπεμίμνησκεν αὐτοὺς, ὡς λαμπρὰ καὶ μεγάλα πράξειαν, οὐκ ἐπὶ Νομάσιν, ἀλλ' ἐπὶ πᾶσιν Ἰταλοῖς κατὰ τὴν Ἰταλίαν. καὶ τὴν ὀλιγότητα τῶν ἐχθρῶν αὐτόθεν ἑστὼς ἐπεδείκνυε, καὶ παρεκάλει μὴ χείρους ὀλιγωτέρων ἐν οἰκείᾳ γῇ πλέονας ὄντας ὀφθῆναι. τὸν δὲ κίνδυνον τοῦ παρόντος ἀγῶνος καὶ τὸ μέγεθος ἑκάτερος τοῖς ἰδίοις ὑπερεπῆρεν· Ἀννίβας μὲν, ὅτι Καρχηδόνα καὶ Λιβύην ἅπασαν ὁ ἀγὼν ὅδε κρινεῖ, ἢ δούλην εὐθὺς ἡσσωμένων εἶναι, ἢ εἰς τὸ ἔπειτα ἄρχειν ἁπάντων ὧν ἐπεκράτουν. Σκιπίων δ', ὅτι νικωμένοις μὲν οὐδ' ἀναχώρησις ἐστὶν ἀσφαλὴς, ἐπικρατοῦσι δὲ ἀρχὴ μεγάλη προσγίγνεται, καὶ ἀνάπαυλα πόνων τῶν παρόντων· καὶ ἐς τὰ οἰκεῖα ἀπόπλους, καὶ ἐς τὸ μέλλον εὔκλεια. οὕτω παροξύνας τοὺς ἰδίους ἑκάτερος, ἐς τὸν ἀγῶνα συνῄεσαν, Ἀννίβας μὲν, σαλπίγγων κατάρξας, Σκιπίων δ' ἀντηχεῖν κελεύσας. συνιόντων δ' αὐτῶν, οἱ μὲν ἐλέφαντες κατῆρχον τῆς μάχης, ἐς τὸ φοβερώτατον ἐσκευασμένοι,

μένοι, καὶ τοῖς κέντροις ἐξοτρυνόμενοι πρὸς τῶν ἐπικαθημένων. περιθέοντες δ᾽ αὐτοὺς οἱ Νομάδες ἱππεῖς ἐσηκόντιζον ἀθρόως, μέχρι τρωθέντας τε καὶ φεύγοντας, καὶ δυσχερῶς ἔτι ἔχοντας, ἀπήγαγον ἐκ μάχης οἱ ἐπιβάται. καὶ τάδε μὲν ἦν περὶ τοὺς ἀμφὶ τὰ κέρατα ἐλέφαντας· οἱ δ᾽ ἐν μέσῃ τῇ φάλαγγι τοὺς Ῥωμαίων πεζοὺς κατεπάτουν, ἀπείρους τε ὄντας τοιᾶσδε μάχης, καὶ βαρεῖς ὑπὸ τῆς ὁπλίσεως, καὶ παρ᾽ αὐτὸ φεύγειν εὐκόλως ἢ διώκειν οὐ δυναμένους· ἕως ὁ Σκιπίων τοὺς ἱππέας τοὺς Ἰταλικούς, ὀπίσω τεταγμένους καὶ κουφότερον ἐσκευασμένους, ἐπαγαγών, ἀποβῆναι τῶν ἵππων ταρασσομένων ἐκέλευσε, καὶ τοὺς ἐλέφαντας περιθέοντας ἐσακοντίζειν· πρῶτός τε αὐτὸς ἀποβὰς ἔτρωσε τὸν προπηδῶντα τῶν ἐλεφάντων. θαρρησάντων δὲ τῶν ἄλλων, καὶ τιτρωσκόντων ἤδη πανταχόθεν αὐτούς, καὶ οἵδε ὑπεχώρουν. καὶ γενομένης τῆς μάχης καθαρᾶς θηρίων, ὁ ἀγὼν ἐγίγνετο μόνων ἀνδρῶν τε καὶ ἵππων. τὸ μὲν οὖν δεξιὸν τὸ Ῥωμαίων, οὗ Λαίλιος ἐπεστάτει, τρέπεται τοὺς ἐναντίους Νομάδας, Μασσανάσσου βαλόντος αὐτῶν τὸν δυνάστην Μασσάθην. ὀξέως δ᾽ αὐτοῖς ὁ Ἀννίβας ἐπιδραμών, συνέστησε τὴν μάχην. τὸ δὲ λαιόν, ἔνθα Ῥωμαίων μὲν Ὀκτάουιος ἐπεστάτει, τῶν δὲ πολεμίων Κελτοὶ καὶ Λίγυες ἦσαν, ἐπόνει μάλα καρτερῶς ἑκατέροις· καὶ Σκιπίων μὲν ἔπεμπε Θέρμον τὸν χιλίαρχον ἐπικουρεῖν, μετ᾽ ἐπιλέκτων· Ἀννίβας δ᾽ ἐπεὶ τὸ λαιὸν συνέστησεν, ἐς τοὺς Λίγυας καὶ Κελτοὺς μεθίππευεν, ἐπάγων ἅμα τὴν δευτέραν τάξιν Καρχηδονίων τε καὶ Λι-

terrifico pugnam occeperunt, ſtimulis concitati ab inſeſſoribus: quos equites Numidæ circumcurſando telis obruebant, donec ſaucii & in ſuos ſe vertentes, jámque moderatu difficiles, à rectoribus ſubducti ſunt ex acie. & hoc quidem in utroque cornu accidit. Ceterùm in acie media 24 proculcabantur pedites Romani, imperiti hujus pugnæ generis & propter gravem armaturam nec ad refugiendum nec ad perſequendum agiles: donec Scipio equites Italicos, è poſtrema acie inductos, & levius armatos juſſit ab equis territis deſilire, & in elephantos huc illuc ruentes tela conjicere: primúſque ipſe deſcendit, & elephantem procurrentem ſauciavit. Hoc exemplo confirmatis aliis, & undique jam eos vulnerantibus, retro cedebant hi quoque. Sic exactis è pugna belluis, certamen virorum tantùm & equorum ſupererat. Dextrum cornu, cui Lælius præerat in fugam vertit oppoſitos ſibi Numidas, poſtquam Maſaniſſa vulneravit Maſintham eorum regulum: quibus properè ſuccurrens Annibal, prælium redintegravit. In lævo, ubi Octavius pugnabat contra Gallos & Ligures, utrinque laborabatur pariter: eò Scipio ſubmiſit Thermum tribunum cum ſelectis militibus. Annibal reſtituto lævo ſuo cornu, ad Ligures Gallóſque tranſvolavit, inducens ſimul & Pœnorum Afrorúmque ſubſidium: id a-

Scipio elephantem ſauciat.

Maſinthas.

nimadvertens Scipio, movit & ipſe principes. Ibi duobus præſtantiſſimis ducibus contendentibus, militum quoque fuit egregium certamen ſub ipſorum oculis, dum verentur cedere, nec ſibi quicquam ad ſummam alacritatem reliquum faciunt, laborem accendentibus crebris vehementibúſque cohortationibus. Quúmque diu Marte dubio certatum eſſet, duces ambo, miſerati ſuos feſſos, concurrerunt, quò citius decerneretur: emiſſiſque pariter telis, Scipio trajecit Annibalis clypeum: Annibal equum percuſſit alterius, qui vulneris impatiens Scipionem in tergum excuſſit: ille inſcenſo alio, rurſum Annibalem telo, ſed tunc etiam fruſtra, petiit: niſi quòd vulneravit proximum equitem. Interim re cognita Maſaniſſa ſupervenit: & Romani, ubi viderunt, imperatorem ſuum, non ducis ſolùm, verùm etiam militis obire munia, pugnaréque pro militibus, impreſſione vehementius

Annibal & Scipio concurrunt inter ſe.

25 facta, coegerunt hoſtem terga vertere, quem urgendo perſequebantur, Annibale ſuis adequitante, fruſtráque conante ſurdos precibus ad repugnandum ſiſtere. Videns igitur ſe nihil apud eos proficere, Italos, quos ſecum adduxerat, nondum motos è ſubſidiis, concivit in prælium, ſperans, dum Romani fuſos perſequuntur, facilius turbatum iri eorum ordines: illi ubi viderunt eum hoc agere, ceu teſſera data ſe recipiendo properè integrarunt ordines. Jámque deſtituti equitatu, abſumptis miſſi-

βύων. κατιδὼν δ' αὐτὸν ὁ Σκιπίων, ἀντιπαρῆγε μεθ' ἑτέρου στίφους. δύο δὲ στρατηγῶν ἀρίστων ἐς ἀγῶνα συνιόντων, ἔρις ἦν τῶν ὑφ' ἑκατέρῳ λαμπρὰ, καὶ δέος· καὶ προθυμίας οὐδετέροις τι ἐνέλειπε, σφοδροῦ καὶ ὀξέος ὄντος πόνου τε καὶ παρακελεύσεως. μακρᾶς δὲ καὶ ἀκρίτου τῆς μάχης οὔσης, οἱ στρατηγοὶ τοὺς κάμνοντας ἐλεοῦντες, ὥρμων ἐπ' ἀλλήλους, ὡς ἐν σφίσι τῆς κρίσεως ταχυτέρας ἐσομένης· καὶ ἠκόντισαν ὁμοῦ, Σκιπίων μὲν, Ἀννίβου τὴν ἀσπίδα, ὁ δ' Ἀννίβας ἔτυχε τοῦ ἵππου. καὶ ὁ ἵππος ὑπὸ τῆς πληγῆς ἐξέφερεν ὀπίσω τὸν Σκιπίωνα, μέχρι περιβὰς ἕτερον ἵππον, αὖθις ἐς τὸν Ἀννίβαν ἠκόντισεν. ἀλλ' ἀπέτυχεν αὐτοῦ καὶ τότε, τὸν δὲ ἱππέα τὸν ἐγγὺς ἔβαλεν. ἧκεν δ' ἐν τούτῳ καὶ Μασσανάσσης πυθόμενος· καὶ οἱ Ῥωμαῖοι, τὸν στρατηγὸν ὁρῶντες στρατιωτικῶς σφῶν ὑπερμαχόμενον, καρτερώτερον τοῖς πολεμίοις ἐνέπεσον, καὶ ἐτρέψαντο καὶ φεύγοντας ἐδίωκον· οὐδὲ παριππεύοντος αὐτοῖς τοῦ Ἀννίβου, καὶ δεομένου στῆναι, καὶ τῆς μάχης αὖθις ἐς πεῖραν ἐλθεῖν, ἔτι ἐπείθοντο. ἀπογνοὺς οὖν αὐτὸς ὁ Ἀννίβας τοὺς ἐξ Ἰταλίας οἱ συνελθόντας, ἐφεδρεύοντας ἔτι καὶ ἀτρεμοῦντας ἦγεν ἐπὶ τὴν μάχην, ἐλπίσας Ῥωμαίοις, ἅτε διώκουσιν, ἀσυντακτοτέροις ἐπιπεσεῖσθαι. οἱ δὲ τὸ ἐνθύμημα αὐτοῦ θεασάμενοι μετὰ σπουδῆς ἀλλήλους ἐκ τῆς διώξεως ἐκάλουν, καὶ συνετάσσοντο αὖθις ἐς μάχην. οὔτε δὲ ἵππων σφίσι παρόντων, οὔτε ἀκοντίων ἔτι ὄντων, ξίφεσιν ἐς ἀλλήλους ἐχρῶν-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

…, καὶ συνεπλέκοντο. φόνος τε ἦν
…ολὺς ἐνθάδε μάλιστα, καὶ τραύ-
…ματα μέγιστα, καὶ πιπτόντων στό-
…νος, καὶ ἀναιρούντων μεγαλαυχία·
…έχει ποτὲ καὶ τούσδε ἐτρέψαντο οἱ
…παλοὶ, καὶ φεύγουσιν εἵποντο. κρί-
…ς τε ἦν λαμπρὰ τοῦ πολέμου. καὶ
Ἀννίβας ἐν τῇ φυγῇ θεασάμε-
…νος ἱππέων Νομάδων πλῆθος
…συνεστηκὸς, προσδραμὼν ἠξίου μὴ
…περιλιπεῖν αὐτόν· καὶ πείσας, ἐπῆγε
…τοῖς διώκουσιν, ἐλπίσας ἐργάσα-
…σθαι τινὰ πάλιν δίωξιν. πρώτοις
Μασσυλίοις ἐντυχὼν ἐμάχετο· καὶ
…όνος ἦν οὗτος, Μασσανάσσου καὶ
…ννίβου συνεστώτων. φερομένων δὲ καὶ
…τῶνδε ἐπ' ἀλλήλους ὑπὸ προθυ-
…μίας, ἐς μὲν τὴν ἀσπίδα ὁ Μασ-
…σανάσης ἠκόντισε βαλών· ὁ δὲ Ἀννί-
…βας καὶ τότε ἔτυχε τοῦ ἵππου. καὶ ὁ
…Μασσανάσης ἐκπεσὼν, πεζὸς ἐπὶ τὸν
…Ἀννίβαν ὥρμα, τόν τε ἐπελαύνοντα
…πρὸ τῶν ἄλλων ἱππέα βαλὼν ἀ-
…πέκτεινε· καὶ τῶν λοιπῶν τὰ ἀκόντια
…ς τὴν ἐλεφαντίνην ἐκδεχόμενος, ἓν
…τῶν ἐμπεπηγότων ἐξεῖλε· καὶ ἀκοντί-
…σας ἐς τὸν Ἀννίβαν αὖθις, οὐδ' ὣς
…ἐπετύγχανεν, ἀλλὰ τὸν ἐγγὺς ἱππέα
…καὶ ὅδε ἀπέκτεινεν· ἕτερον δ' ἐξέλ-
…κων, ἐς τὸν βραχίονα ἐτρώθη, καὶ
…ὑπεχώρησεν ἐκ τῆς μάχης ἐπ' ὀλί-
…γον. Σκιπίων δὲ πυθόμενος, ἔδει-
…σε περὶ τῷ Μασσανάσῃ, καὶ ἐς τὸ
…ἔργον ἠπείγετο· καὶ εὗρε τὸν Μασσα-
…νάσην ἐς τὴν μάχην αὖθις ἐπὶ ἵπ-
…που φερόμενον ἑτέρου, τὸ τραῦμα
…ἐπιδήσαντα. ὅ, τε ἀγὼν ἦν ἴσος
…αὐτοῖς αὖθις καὶ πάνυ καρτερὸς, αἰ-
…δουμένων τοὺς στρατηγοὺς ἑκατέρων·
ἕως ὁ Ἀννίβας ἐπὶ τινὸς λόφου θεα-
…σάμενος Ἴβηρας καὶ Κελτοὺς συνε-
…στῶτας, ἐξίππευσεν ὡς καὶ ἐκείνους ἐπάξων. τότε γὰρ οἱ μαχόμενοι τὸ

libus, rem gladiis gerebant cominus, tum verò ingens cædes edebatur magnis vulneribus, inter gemitus cadentium & clamores inſultantium: donec hac quoque parte hoſtes fuſi fugatíque ſunt, indubia jam victoria. Annibal inter fugiendum conſpicatus conglobatos equites Numidas, accurrit, rogavítque ne ſe deſererent: quo impetrato, in perſequentes fecit impetum, ſperans ſe eos in fugam verſurum: & forte fortuna in Maſæſulos incidit. Jámque commiſſi erant Maſaniſſa & Annibal: quibus alacriter concurrentibus, Annibal ictum excepit clypeo, & hoſtis equum tunc quoque percuſſit. Maſaniſſa reſurgens, Annibalem invaſit pedibus, & equitem objicientem ſe, telo confixit: reliquorum aliquot jacula excepit ſcuto elephantino, &, uno quod hæſerat extracto, iterum Annibalem fruſtra petiit, quum alius eques intercurrens, letale vulnus acciperet: dúmque rurſum evellit aliud, ſauciatus brachium, pugna exceſſit paulisper. Hoc audito Scipio, Maſaniſſæ timuit: quúmque eò properaret, reperit eum vulnere obligato pugnam equo alio repetere. Sicque redintegrato prælio pugnatum eſt acriter, utriſque pariter duces ſuos reverentibus: donec Annibal, viſo, in quodam colle, Hiſpanorum Gallorúmque globo, equum illò adegit, ut & hos adduceret: reliqui cauſam

Maſaniſſa & Annibal inter ſe concurrunt.

Amor militum erga Annibalem.

Maſaniſſæ virtus & fortitudo incredibilis.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
145 E 7 vol. 1

